» νίαν. τοιαύτη μὲν ἡ τοῦ βασιλέως ὑποτολή. τεσσαρεσκαιδεκάτην δὲ φασιν ἰωάννου τοῦ ἀποστόλου τηρῆσαι τὴν τεσσαρεσκαιδεκάτης παραδοσιν αὐτοῖς. οἱ δὲ τοῦ ῥώμης καὶ τὰ ἑαυτῶν μέρη, τοὺς ἀποστόλους πέτρον, καὶ παῦλον, τήν τε παραδοσιν καὶ τὰ δεδογμένα ζωοποιῆσαι λέγοντας. ἀλλ' οὐδεὶς πω τούτων ἔλεγχον ἔχει παραγεῖν τῶν περὶ τούτων ἀπόδειξιν. ὅτι μέντοι οὐ σύνηθείας ἕνεκα μᾶλλον τοῦ χρόνου ὑπετέθη ἡ τοῦ πάσχα ἑορτή, σαφὲς τεκμήριον. οὐδεμία γὰρ ἐκκλησιῶν τὰ αὐτὰ ἔθη φυλάττει, καὶ τῶν αὐτῶν περὶ τούτων δόξαν ἀπαράζηται. καὶ γὰρ οἱ τῆς αὐλῆς πίστεως ὄντες, διαφωνοῦσι περὶ τὰ ἔθη πρὸς ἑαυτούς. διὸ μικρὰ περὶ τῶν τοῦ χρόνου τοῦ ἐν ἐκκλησίᾳ ἐθῶν, παραπλήσιον οὐκ ἄκαιρον. αὐλικὰ γὰρ πρὸ τῆς πάσχα νηστείας, ἕνιοι μὲν ἕνιοις φυλαττομένους ὄντι δύρσῃ. οἱ μὲν γὰρ ἐν ῥώμῃ, τρεῖς πρὸ τῆς πάσχα ἑβδομάδας, πλὴν σαββάτου καὶ κυριακῆς, σιτηρομένους νηστεύουσιν. οἱ δὲ ἐν ἰλλυριοῖς καὶ ἕως τῇ ἕωθεν, καὶ οἱ ἐν ἀγεξανδρείᾳ πρὸ ἑβδομάδων ἓξ, τὴν πρὸ τοῦ πάσχα νηστείαν νηστεύοντες, τεσσαρακοστὴν αὐτὴν ὀνομάζοντες. ἕνιοι δὲ παραπλησίως. ἕνιοι πρὸ ἑπτὰ τοῦ ἑορτῆς ἑβδομάδων τὴν νηστείας ἀρχόμενοι, καὶ τρεῖς μόνας πεντημερεύσεις ἐκ διαλειμμάτων νηστεύοντες, οὐδὲν ἧττον καὶ αὐτοὶ τεσσαρακοστὴν τὸν χρόνον τοῦτον καλοῦσι. καὶ ἄλλαι μάσαι μοι ἔτεσι, πῶς ἕκαστοι περὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν διαφωνοῦντες, τεσσαρακοστὴν αὐτὴν ὀνομάζουσι. καὶ ἕνιος ἕνιον λόγον τῆς ὀνομασίας ἐξευρίσκοντες ἀποδίδασιν. ἔστι δὲ δύρσῃ οὐ μόνον περὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν διαφωνοῦσας, ἀλλὰ καὶ τὴν ἀποχὴν ὧν ἐδεσμάτων, καὶ ὁμοίαν ποιουμένους. οἱ μὲν γὰρ, πάντη ἐμψύχων ἀπέχονται. οἱ δὲ τῶν ἐμψύχων, ἰχθῦς μόνους μεταλαμβάνουσι. ἔνιοι δὲ καὶ τοῖς ἰχθύσι, καὶ ὧν πτηνῶν ἀπογεύονται, ὅς ὕδατος καὶ αὐτὰ, καὶ τὸν μωϋσέα, γεγηπέναι λέγοντες. οἱ δὲ καὶ ἀκροδρύων, καὶ ὠῶν ἀπέχονται. ἔνιοι δὲ καὶ ξηροῦ ἄρτου μόνου μεταλαμβάνουσιν. ἄλλοι δὲ οὐδὲ τούτου. ἕτεροι δὲ ἄχρις ἑσπέρας ὥρας νηστεύοντες, διαφορον ἔχουσι τὴν ἑτέρων. ἄλλως τε πρὸ ἄλλοις φύλοις καὶ μυείαι αἰτίαι οὖσαι τυγχάνουσι. καὶ ὅπερ οὐδεὶς πω τούτου ἔλεγχον ἔχει δεῖξαι παράλογμα, δῆλον ὡς καὶ περὶ τούτου τῇ ἑκάστου γνώμῃ καὶ προαιρέσει ἐπέτρεψαν οἱ ἀπόστολοι. ἵνα ἕκαστος μὴ φόβῳ, μὴ δὲ ἐξ ἀνάγκης τὸ ἀγαθὸν καλεργάζοιτο. τοιαύτη μὲν καὶ νηστειῶν διαφωνία κατὰ τὰς ἐκκλησίας ὅτι. περὶ δὲ συνάξεων, ἕτερα τοιαῦτα. πᾶν γὰρ πανταχοῦ τὸ οἰκουμένης ἐκκλησιῶν, ἐν ἡμέρᾳ σαββάτων, κατὰ πᾶσαν ἑβδομάδος περιοδον ὑπιτελοῦσι τὰ μυστήρια, οἱ ἐν ἀγεξανδρείᾳ, καὶ οἱ ἐν ῥώμῃ, ἐκλύσας ἀρχαίας παραδόσεως τοῦτο ποιεῖν παρητήσαντο. αἰγύπτιοι δὲ γείτονες ὄντες ἀγεξανδρέων, καὶ οἱ πρὸ ἡμῶν αἰῶνα οἰκοῦντες, ἐν σαββάτῳ μὲν ποιοῦνται συνάξεις. οὐκ ὡς ἔθος δὲ χριστιανοῖς, τὰ μυστήρια μεταλαμβάνουσι. μᾶλλον δὲ διὰ νυχτὸς, καὶ πολλῶν ἐδεσμάτων ἐμφορηθέντες, περὶ ἑαυτῶν προσφέροντες, τῶν μυστηρίων μεταλαμβάνουσιν. αὖθις δὲ ἐν ἀγεξανδρείᾳ τῇ τετράδι, καὶ τῇ λεγομένῃ παρασκευῇ γραφάς τε ἀναγινώσκουσι, καὶ οἱ διδάσκαλοι ταῦτα ἑρμηνεύουσι. πρώτα τε τὰ ζωοποιεῖς γένεσις, εἶτα τὸν τῶν μυστηρίων τελετὴν. καὶ τοῦτο ὄντι ἐν ἀγεξανδρείᾳ ἔθος ἀρχαῖον. καὶ

γὰρ ὡ-

γὰρ ὠειλῆνθε τὰ πολλὰ ἐν ταῖς τ ἡμέραις φαίνε) ὅτι τ ἐκκλησίας διδάξαι. ὅς λις σοφὸς ὢν διδάσκαλος, καὶ καλιδὼν ὅλη ὃ ἀδυνάτον τῷ νόμου μαθύσεως ἀδενὲς ποιεῖς ὃ γράμμα ἀποδοθῦναι, τὸν περὶ τῷ πάχα λόγον εἰς θεωρίαν ἀνήγαγε, ἓν πάχα μόνον ἀγαθὸν γεγονῆναι λέγων, ὅσῳ ὁ σωτὴρ ἐπετέλεσεν ἐνεργήσας τῆ τῶν ἀντικειμένων δυνάμεων, ἀφ' ὧν ποιησάμενος τὸν ἑαυτῷ, ἐπαίῳ τούτῳ τῆ ὀχυρώματος χρησάμενος. ἐν τῇ αὐτῇ δὲ ἀγεξανδρείᾳ δύο γῶναι, καὶ ἀποδολῆς ἀφθορεῖ, εἴ τε καινοὶ μῦθοι εἰσὶν, εἴ τε πιστοὶ τῶν πάλαι δοκούντων, πιστοὺς εἰς ὃ τέλμα τοῦτο ποιησόμενος. ἔγνων δὲ ἐγὼ καὶ ἕτερον ἔθος ἐν θεσσαλίᾳ, γνώμενος κληρικὸς ἐκφ. ὧ νόμῳ γαμήσας πρὶν κληρικὸς γένη), μετὰ ὃ κληρικὸς γνέσθαι συγκαθευδήσας αὐτῇ, ἀποκήρυκτος γίνε, τὸν ἐν δύο γενεᾶς γνωρίμων πάντων ἀπεγομένων, καὶ τῶν ἐπισκόπων εἰ μὴ βούλοιντο, οὐ μὴν δύναται νόμου τοῦτο ποιοῦντος. πολλοὶ γὰρ αὐτῶν ἐν τῷ χωρῷ τ ἐπισκοπῆς, καὶ παῖδας ἐκ τῆς νομίμης γαμετῆς πεποιήκασιν. ἄλλα τὰ μὲν ἐν θεσσαλίᾳ ἔθους, ἀρχῆθεν κληρικὸς θεόδωρος πείθης τ ἐκφ γνόμενος, οὗ λέγε), πονήματα ἐρωτικὰ βιβλία νέος ὢν ἔταξε, καὶ αἰθιοπικὰ ποιήσατο. φυλάττε) ὃ δὲ τὸ ἔθος ἐν θεσσαλονίκῃ, ἡ αὐτῇ μακεδονίᾳ, ϲ ἡδάδι. ἡ ἄλλο ὃ ἔθος οἶδα ἐν θεσσαλίᾳ γνόμενον, ἐν τῇ ἡμέραις τὸ πάχα μόνον βαπτίζουσι. δὲ σφόδρα πλὴν ὀλίγων οἱ λοιποὶ, μὴ βαθυδιδέντες ἀποθνήσκουσιν. ἐν ἀνδιοχείᾳ δὲ τῆς συρίας, ἡ ἐκκλησία ἀντίστροφον ἔχῃ τὴν θέσιν. οὐ γὰρ ποῖς ἀναπλᾶς τ θυσιαστήριον, ἀλλὰ ποῖς δύσιν ὁρᾷ. ἐν ἡδάδι ὃ ϲ ἱεροσολύμοις, ϲ θεσσαλίᾳ, ταῖς ἐν ταῖς λυχναψίαις δύχαις, ὧδε πλησίον τοῖς ἐν κωνσταντίνου πόλῃ ναυπλιανοῖς ποιοῦσαι. ὁμοίως ὃ καὶ ἐν καππαδοκίᾳ τ καθ' παδοκίας, καὶ ἐν κύπρῳ, ἐν ἡμέρᾳ σαββάτου, ϲ κυριακῆς, ἀεὶ περὶ ἑσπέραν μετὰ ἡς λυχναψίας, οἱ πρεσβύτεροι καὶ ἐπίσκοποι ταῖς χάφαις ἐρμηνεύουσιν. οἱ ἐν ἡγησπόντῳ ναυπλιανοὶ οὐχ' ὁμοίως τοῖς πάντα τοῖς ἐν κωνσταντίνου πόλῃ ποιοῦσαι ταῖς δύχαις· ὧδε πλησίον δὲ ὧδε πολλὰ τῇ κρατούσῃ ἐκκλησίᾳ. καθόλου μέχρι πόντου, καὶ ὧδε πάσαις θρησκείαις τ δύχων οὐκ ἔστιν δύρδην συμφωνούσας δύο ὅτι ὃ αὐτό. πρεσβύτερος ἐν ἀγεξανδρείᾳ οὐ πολὺν, καὶ τοῦτο ἀρχαῖον ἔλαβεν, ἀφ' οὗ ἄρειος τ ἐκκλησίαν ἐτάραξεν. ἐν ῥώμῃ πᾶν σάββατον νηστεύουσιν. ἐν καππαδοκίᾳ τ καθ' παδοκίας τοῖς μετὰ βάπτισμα ἡμέρας ἐξοδοῦσι τῆς κοινωνίας, ὡς οἱ ναυπλιανοί. τὸ αὐτό ὃ ϲ μακεδονιανοὶ ἐν ἡγησπόντῳ ποιοῦσι, καὶ οἱ ἐν ἀσίᾳ τεσσαρεσκαιδεκατίται. οἱ ναυπλιανοὶ οἱ περὶ φρυγίαν, διγάμοις οὐ δέχον). ἕτεροι γὰρ, ὡς ἤγουμαι, τῆς τοιαύτης ἀφωνίας οἱ μετὰ καιρὸν τῶν ἐκκλησιῶν ποιησάντες. οἱ δὲ ταῦτα ὧδε λαβόντες, ὡς νόμον τοῖς ἐπιγινομένοις προέγραψαν. πάντα δὲ τὰ ἐν τ ἐκκλησίαις ἔθη μετὰ πόλεις καὶ χώρας γνόμενα, ἐκλεφθῆν ἐρῶδες· μᾶλλον δὲ ἀδυνάτον. ἰκανὰ μύθοι καὶ τὰ ὧδε λεγόμενα ποιεῖς ἀπόδειξιν, ὅτι τῷ ἑορτῇ τοῦ πάχα ἐκ σιωπῆς μηνὸς μετὰ χώρας, ἀφθορεῖ ἐμηχέναι λαμβάνω. δὲ ποιοῦσιν οἱ τ ἐν νικαίᾳ ϲωδοῦ ὧδε πέμψαι τὸ πάχα ὅτι, φυλάσσομεν. οἱ γὰρ ἐκ σιωπῆς σιωπῆς, τοῖς λαοῖς εἰς συμφωνίαν ἄγειν ἐσπούδασαν, ποιεῖς τοῖς πολλῷ πλείονας διαφωνοῦντας τὸ ποιήτερον. ὅλη ὃ λύπης ὅτι τ ἀποστολικῶν χρόνων, πολλαὶ διαφωνίαι ἀφ' τοιαῦτα ἐγένοντο, οὐδὲ αὐτοῖς τοῖς ἀποστόλοις διέμεινεν, ὡς μάρτυρι ἡ βίβλος τῶν

παραξέων. ἐπεὶ γὰρ ἔγνωσαν οἱ ἀπόστολοι τὰ ἀναγκαῖα ἐκ τῆς διαφωνίας τῶν ἐθνῶν κινουμένῳ τοῖς πιστεύουσι, πάντες ἅμα γνώμονες, ἐθέσπισαν ἐν τύπῳ ἐπιστολῆς καταχρήσασθαι. διὸ οὐ τὸ βαρυπαίδης μᾶλλον παρεῖναι τῶν τοιούτων δουλείας τε καὶ ἐρεσχελίας, τοὺς πιστεύοντας ἠλευθέρωσαν. ἐκποδὼν ποιοῦσιν δὲ ἀσφαλῆ τῆς ὀρθῆς πολιτείας, καὶ παρὸς τὴν ἀληθῆ θεοσέβειαν, ἄγραφα ἐδίδαξαν, μόνα ὅσα ἀναγκαίως δεῖ φυλάττειν μιμούσαμενοι. ἀλλ' ἡμᾶς ἐπιστολὴ ἐν τῇ τῶν ἀποστόλων παραξέσει ἀναγέγραπται. ὅθεν οὐ κωλύει καὶ ἐνταῦθα παρεσκευάσθαι. οἱ ἀπόστολοι καὶ οἱ πρεσβύτεροι, καὶ οἱ ἀδελφοὶ, τοῖς κατ' ἀντιόχειαν καὶ συρίαν, καὶ κιλικίαν ἀδελφοῖς, τοῖς ἐξ ἐθνῶν, χαίρειν. ἐπεὶ ἠκούσαμεν ὅτι τινὲς ἐξ ἡμῶν ἐξεληλύθασιν ἐτάραξαν ὑμᾶς λόγοις, ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν, λέγοντες περιτέμνεσθαι, καὶ τηρεῖν τὸν νόμον, οἷς οὐδὲν ἐντειλάμεθα, ἔδοξεν ἡμῖν γνωμένοις ὁμοθυμαδὸν, ἐκλεξαμένους ἄνδρας πέμψαι πρὸς ὑμᾶς, σὺν τοῖς ἀγαπητοῖς ἡμῶν βαρνάβα καὶ παύλῳ, ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ. ἀπεστάλκαμεν οὖν ἰούδαν καὶ σίλαν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας ταῦτα. ἔδοξε γὰρ τῷ ἁγίῳ πνεύματι καὶ ἡμῖν, μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος, πλὴν τῶν ἐπάναγκες τούτων, ἀπέχεσθαι εἰδωλοθύτων, καὶ αἵματος, καὶ πνικτῶν, καὶ πορνείας, ἐξ ὧν διατηροῦντες ἑαυτοὺς, εὖ πράξετε. ἔρρωσθε. Ταῦτα μὲν ἔδοξε τῷ θεῷ. τοῦτο γάρ φησιν ἡ ἐπιστολὴ, ὅτι ἔδοξε τῷ ἁγίῳ πνεύματι, μηδὲν πλέον ἐπιτίθεσθαι βάρος, πλὴν τῶν ἐπάναγκες ἀφεκτέων φυλάττεσθαι. τινὲς δὲ τούτων ἀμελήσαντες, διέφθορεν μὲν πᾶσαν πορνείαν ἡγούμενοι. τῇ δὲ ἡμέρᾳ ἑορτῆς, ὡς τοῖς ψυχῆς ἀγωνίζονται, ἀντιτρέφοντες μὲν τὰ τοῦ θεοῦ παραγγέλματα, καὶ νομοθετοῦντες ἑαυτοῖς, πρὸς οὐδὲν ἧττον τὴν τῶν ἀποστόλων νομοθεσίαν διέμενον, καινοτάτοις ἑαυτοὺς, ὅτι ἐν ἀντιτυχίᾳ, οἷς ὁ θεὸς ἔδοξε, παραδοῦσι. διωκάτω μὲν οὖν τὸ πάσχα λόγον ἔτι πλέον ἐκτεῖναι, καὶ δεῖξαι ὡς οὐδὲν ἰουδαῖοι τὸν περὶ τοῦ πάσχα χρόνον τὴν ἀκρίβειαν, ἢ τύπον φυλάττουσιν. ὅπως δὲ σαμψὰς ἀποχισμα ὅλης ἰουδαίων, ἀεὶ μετ' ἰσημερίαν τὴν ἑορτὴν ταύτην ἐπιτελοῦσιν. ἀλλ' ἡ τοιαύτη ἐκθεσις, ἰδιάζουσης χρήσεως, καὶ μακρολέσχης ἐκθέσεως. ἐκεῖνο δὲ μόνον φημὶ, ὅτι οἱ φιλοσοφοῦντες ἰουδαίοις ἀκολουθεῖν, καὶ περὶ τοὺς τύπους ἀκριβολογούμενοι, οὐδενὶ ἕτερῳ τούτων ἐκπίπτειν ὀφείλουσιν. εἰ γὰρ ὅλως ἀκριβολογείας παρεῖρω), οὐκ ὀφείλουσιν ἡμέρας μόνον, καὶ μῆνας παρατηρεῖν, ἀλλὰ καὶ τὰ ἄλλα ὅσα ὁ χριστὸς ἐκ τοῦ νόμου γνώμονος, ἰουδαϊκῶς ἐπέταξεν, ἢ ὑπέμεινεν ἐκ τοῦ ἰουδαίων ἀδικούμενος, ἵνα διεργετῶν τοὺς πολλοὺς τυπικῶς καθαρεύσῃ, ἐν πλοίῳ εἰσελθὼν ἐδίδασκεν. ἐς ἀνάγειον οἴκημα ὁ πάσχα διεπεράθη ἐκέλευσε, ὄνον δεδεμένῳ λυθῆναι παρεσκέπτεν, τὸ βασάζοντα κεφάλιον ὕδατος, σημεῖα ἐδίδου τοῖς εἰς ὃ πάσχα ἀπουδάζουσι. καὶ ἄλλα μυρία ἐν διαγελοίοις γέγραπται. καὶ τούτων οὐδὲν ὁμαλικῶς παραφυλάττειν ἀπουδάζουσιν, οἱ ἐξ ἑορτῆς δικαιωθῆναι νομίζοντες. οὐ γὰρ ἵνα τῶν διδασκάλων ἐκ πλοίου ποτὲ τὴν διδασκαλίαν πεποίηκε). οὐκ ἐς ἀνάγειον ἵνα οἴκημα ἐκ πάντος τελέσαι τὸ πάσχα ἐπαπούδασεν. οὐ μόνον δεδεμένῳ δήσαντες αὖθις ἐπέλυσαν. οὐ κεφάλιον ὕδατος βασάσαι τινὶ ἐπέτρεψαν, ἵνα τὰ σύμβολα πληρωθῇ. ταῦτα γὰρ καὶ τὰ ῥαῦλα, ἰουδαϊκὰ μᾶλλον ἡγήσαντο. ἰουδαῖοι γὰρ τὰ συμβαίνοντα ἐν

τοῖς φο-

τοῖς σώμασι μᾶλλον, ἢ τῶν ψυχαῖς σώζειν σπουδάζουσι. διὸ καὶ ἐνόχοι τῇ κατάρᾳ γίνονται, ὅτι τὸν νόμον μωϋσέως ἐν τύποις, οὐ μὴν πρὸς ἀλήθειαν ἐκλαμβάνουσιν. ὁ δὲ φίλοι τοῖς ἰουδαίοις, ταῦτα μὲν εἰς θεωρίαν ἄγουσι. περὶ δὲ ἡμερῶν καὶ μηνῶν ἄσπονδον αἱροῦνται πόλεμον, τὴν περὶ τούτων θεωρίαν πατήσαντες, ὡς ἐξ ἀνάγκης καὶ αὐτοὺς κατὰ τοῦτο τὸ μέρος ὅμοια ἰουδαίοις καταδικάζεσθαι τὴν ἐκ τῆς κατάρας ψῆφον αὐτοῖς ἐπιφέροντες. ἀλλὰ περὶ τούτων, ἐξαρκεῖν ἡγοῦμαι. ἐπάνα δράμωμεν δὲ εἰς τὸ προκείμενον, οὗ μικρὸν ἔμπροσθεν πεποιήμεθα μνήμην, ὡς ἡ ἐκκλησία διαιρεθεῖσα, οὐκ ἐνέμεινε τῇ γενομένῃ πρώτῃ διαιρέσει· καὶ ὡς οἱ διαιρεθέντες καθ' ἑαυτῶν πάλιν ἐχώρουν, μικρᾶς τε καὶ εὐτελοῦς προφάσεως λαμβανόμενοι, ἀλλήλων διεχωρίζοντο. ναυατιανοὶ μὲν οὖν, ὡς ἔφην, διὰ τὴν τοῦ πάσχα ἑορτὴν διῃρέθησαν, καὶ περὶ τούτου οὐ μίαν μόνην διαίρεσιν ἔχουσιν. ἀλλοι γὰρ ἄλλως κατὰ ἐπαρχίας, οὐ μόνον περὶ μηνὸς, ἀλλ' ἤδη καὶ περὶ ἑβδομάδος ἡμερῶν, καὶ περὶ ἑτέρων εὐτελῶν διαφερόμενοι, πῆ μὲν διακρίνονται, πῆ δὲ καὶ ἐπιμίγνυνται.

Γίγνονται δὲ καὶ ἐν ἀρειανοῖς διαιρέσεις, δι' αἰτίαν τοιαύτην. αἱ καθ' ἑκάστην κγ̅ζ̅
παρ' αὐτοῖς ἐριστικαὶ ζητήσεις εἰς ἄτοπά τινα τοὺς λόγους αὐτῶν προήγαγον. ἐπεὶ γὰρ ἐν τῇ ἐκκλησίᾳ πεπίστευται ὁ θεὸς πατὴρ εἶναι υἱοῦ τοῦ λόγου, ζήτημα ἐνέπεσεν εἰς αὐτοὺς, εἰ δύναται καὶ πρὸ τοῦ ὑποστῆναι τὴν υἱὸν, ὁ θεὸς καλεῖσθαι πατήρ. ἐπεὶ γὰρ τὴν τοῦ θεοῦ λόγον οὐκ ἐκ πατρὸς γεννᾶσθαι, ἀλλ' ἐξ οὐκ ὄντων ὑποστῆναι ἐδόξαζον, περὶ τὸ πρῶτον καὶ ἀνωτάτω κεφάλαιον σφαλέντες, εἰκότως περὶ ψιλοῦ ὀνόματος, εἰς ἄτοπον φιλονεικίαν ἐξέπεσον. δωρόθεος μὲν οὖν ἐκ τῆς ἀντιοχείας ὑπ' αὐτῶν μεταστάλεις, ἔλεγε μὴ δύνασθαι πατέρα εἶναι, ἢ καλεῖσθαι, μὴ ὑφεστῶτος υἱοῦ. μαρῖνος δὲ, ὃν ἐκ θρᾴκης πρὸ δωροθέου κεκλήκεισαν, εὐκαίρου δραξάμενος ἀφορμῆς, ἐνυπεῖτο γὰρ ὅτι αὐτοῦ δωρόθεος προεκέκριτο, τοῦ ἐναντίου λόγου προΐστατο. διατοῦτο γὰρ εἰς αὐτοὺς διαίρεσις, καὶ χωρισθέντες διὰ τὸ προλεχθὲν λεξίδιον, κατ' ἰδίαν ἑκάτερος τὰς συναγωγὰς ἐποιοῦντο, τῶν ὑπὸ δωρόθεον τατ τομένων κατὰ τοὺς οἰκείους τόπους μεινάντων. οἱ δὲ ἀκολουθοῦντες μαρίνῳ, ἰδίους κατασκευάσαντες εὐκτηρίους οἴκους, τὰς συναγωγὰς ἐποιοῦντο, λέγοντες τὴν πατέρα, ἀεὶ εἶναι πατέρα, καὶ μὴ ὑφεστῶτος τοῦ υἱοῦ. ἐκαλοῦντο δὲ οὗτοι ψαθυριανοὶ, ὅτι θεόκτιστός τις ψαθυροπώλης, σύρος τὸ γένος διαπύρως τῷ λόγῳ τῷδε συνίστατο. ἐπηκολούθησε δὲ αὐτοῖς καὶ σελήνας ὁ τῶν γότθων ἐπίσκοπος, ἀνὴρ ἐπίμικτον ἔχων τὸ γένος, γότθος μὲν ἦν ἐκ πατρὸς, φρὺξ δὲ κατὰ μητέρα. καὶ διατοῦτο, ἀμφοτέραις τῶν διαλέκτοις ἑτοίμως κατὰ τὴν ἐκκλησίαν ἐδίδασκε. καὶ οὗτοι δὲ μικρὸν ὕστερον διῃρέθησαν, μαρίνου πρὸς ἀγάπιον διενεχθέντος, ὃν αὐτὸς εἰς ἐπισκοπὴν τῆς ἐφέσου προβέβλητο. οὗτοι δὲ οὐ περὶ θρησκείας, ἀλλὰ περὶ προεδρίας μικροψυχήσαντες, ἐπολέμουν ἀλλήλοις, τῶν γότθων προσθεμένων τῷ ἀγαπίῳ. διὸ πολλοὶ τῶν ὑπ' αὐτοῖς κληρικῶν, μισήσαντες τὴν ἐκ κενοδοξίας τεχθεῖσαν μάχην αὐτοῖς, ἀποστάντες αὐτῶν, τῇ ὁμοουσίῳ πίστει προσέθεντο. ἀρειανοὶ μὲν δὴ ἐπὶ τριακονταπέντε ἔτη χωρισθέντες ἀλλήλων, ὕστερον ἐπὶ τῆς ὑπατείας τοῦ νέου θεοδοσίου, κατὰ τὴν ὑπατείαν τοῦ στρατηλάτου πλίνθου, τῆς ψαθυριανῶν ὄντες αἱρέσεως, πεισθέντες τῆς φιλονεικίας ἐπαύσαντο. καὶ ἠνώθησαν ὥσπερ νόμον ὁρίσαντες, μηδέ-

ποτε μνημονδῦσαι τῦ κεφαλαίου, δι' ὃ ἐχωρίζοντο. τοῦτο δὲ ἐν μόνῃ τῇ κωνσταντίνου πόλει ποιῆσαι δεδώκασιν. οἱ γὰρ ἐν ταῖς ἄλλαις πόλεσιν, εἴπου καὶ τυγχάνουσιν ὄντες, ὁπτιμάτοι χωρίζονται. ταῦτα μὲν καὶ περὶ τούτων.

κδ΄ Αλλὰ μὴν, οὐδὲ οἱ ἀπὸ ἀρείου, αἱρέσει μεμάχηνται. αὐτοὶ γὰρ ἀρείου ἦσαν πρεσβύτεροι ἀλεξάνδρου τῦ χριστομάχου αὐτὸν ὁπίσω πορευομένου κυρίου, κεχώρισται, πρόφασιν λαβόντες, ὅτι ἀεπίσκοπον τὴν αὐτῶν διδάσκαλον ἐκκλησίαν οὐ προσεδέχετο. οἱ δὲ ἀπ' αὐτοῦ, εἰς διαφορὰ διῃρέθησαν. πρῶτον μὲν γὰρ θεοφρόνιός τις καὶ παῦλος ἐκ τῶν ἀρείου παῖδες ἀφίστανται, καὶ παχυμερῶς τὰς ἀριστοτέλους κατηγορίας καὶ τὸ περὶ ἑρμηνείας νοήσαντες, συνταξάμενοι βιβλία περὶ τῆς γυμνασίας τοῦ νοῦ, ἐπέγραψαν προσοχθίσαντες τοῖς ἑαυτῶν ὁμοδιδασκάλοις, ὡς ἀποστατήσασι αὐτῶν ἐκκλησίας), καὶ πολλὰ συνάξαντες αὐτοῖς ἀφ' ἑαυτοῦ, ἐπώνυμον αἵρεσιν καταλέλοιπε. καὶ ἐν τῇ κωνσταντίνου πόλει δέ, δυτύχιός τις ἐκ ψυχροῦ ζητήματος, ἐχωρίσθη τῶν ἀνομοιανῶν. καὶ νῦν τὰς ζωὰς ἀξίας κατ' ἰδίαν ποιῆται. ὀνομάζονται οὖν οἱ μὲν θεοφρονίῳ ἀκολουθήσαντες, ἀνομοθεοφρονιανοί· οἱ δὲ δυτυχίῳ, ἀνομοιδυτυχιανοί. ὁποῖα δὲ ψυχρὰ ῥήματα ὄντα περὶ ὧν διαφέρονται), παραδοθῆναι τῇ ἰσοσθενεία ἐκ ἄξιον εἶναι) κέκρικα· ἵνα μὴ εἰς ἕτερα ἀποκλίνω τὸν λόγον, πλὴν ὅτι τὸ βάπτισμα παρεχάραξαν. οὐ γὰρ εἰς τὸν τελευτῶντα, ἀλλ' εἰς τὸν τοῦ χριστοῦ βαπτίζουσι θάνατον. γέγονε δὲ ὀπὶ χρόνου τινὰ καὶ ἐν μακεδονιανοῖς διαίνοια, ἀξιοπίστου μὲν πρεσβυτέρου ἰδίᾳ σωτῆρος· καρτερίου ὃ μὴ ζωαγοροῦντος αὐτῷ. ἴσως δ' ἀν καὶ ἄλλαι τινὲς εἶεν θρησκεῖαι ἐκ τούτων γινόμεναι ἐν ταῖς ἄλλαις τῶν πόλεων. ἐγὼ δ' ἐν τῇ κωνσταντίνου πόλει τὰς διαστειβὰς ποιούμενος, ἐν ᾗ ἐτέλουν τε καὶ ἀνεπαφίην, τὰ ἐν αὐλῇ γινόμενα πλατύτερον διηγοῦμαι. ὅτι τινὰ τούτων καὶ αὐτοψίᾳ ἰσόρροπα, καὶ ὅτι λαμπρότερα τὰ ἐν αὐλῇ γινόμενα, καὶ ἄξια μνήμης καθέστηκε. ταῦτα μὲν οὖν, οὐ κατὰ τὸν αὐτὸν χρόνον, ἀλλὰ κατὰ διαφόρους συνέβη γενέσθαι καιρούς. εἰ δέ σοι φίλον ὀνόματα διαφόρων λαμβάνειν αἱρέσεων, τῷ ὁπιγραφομένῳ ἀγκυρωτῷ βιβλίῳ, ὃ συνέταξεν ὁ κυρρίων ὁπίσκοπος ὁπιφάνιος ἐντυγχάνων, διδάσκου. περὶ μὲν δὴ τούτων ἀπογεγράφθω. τὰ δὲ δημόσια πράγματα ἐταράχθη, ὧδε αἰτίας τοιάσδε.

κε΄ Καλὰ τὰ ἑσπέρια μέρη, γραμματικός τις ὀνόματι δόμνος, ῥωμαϊκοῖς παιδείων λόγοις, ἀφεὶς τὰ παιδεύματα, ἐν τοῖς βασιλείοις ἐστρατεύετο. καὶ δόμνῳ γραφὴ τῦ βασιλέως καθίσταται. διὰ δὲ τὸ εἶναι) βραχύμυος, πλέον τῶν ἄλλων μυῶν, τὸν τύχην μετεῖναι οὐκ ἐώκει. ἀλλὰ σὺν ἐργῷ λαβὼν ἀργυρᾶν, ὡς ἐκ τῆς μικρᾶς γαλλίας ὁρμώμενος, γραμματικοῦ μὲν τάγματος ἡγεμὼν ἐτύγχανεν ὤν, τὸν δὲ ἕσπερον χαλεπὸς καὶ μιαφονώτατος, εἰς τυραννίδα ἐπέκλινε. βουλεύονται οὖν ἀμφὶ φόνου κατὰ τοῦ βασιλέως οὐδενὶ γνώμονος, τοὺς ὁπικοίτους πείσαντες δυνούχους ἐπεισελθόντες. οἱ δὲ ἐπαγόμενοι μείζονων εἶναι ἀξιοῦσιν, δεξάμενοι καθεύδοντα τὸν βασιλέα, ἀπέπνιξαν. δύσις οὖν ὁ δόμνιος ἐγκρατὴς τῶν τοῖς ἑσπερίοις μέρεσι πραγμάτων γνώμονος, ἔπραξεν ὅσα εἰκὸς ἦν ἐπὶ τυράννου γίνεσθαι. ταῦτα ἀκούσας ὁ βασιλεὺς θεοδόσιος, αὖθις ἐν φρονήσει μείζοσι καθίστατο, δυσὶν ἀγώνων τῶν μετὰ μάξιμον προειρημένης ὁδοῦ συγκροτήσας οὖν τὰς στρατιωτικὰς δυνάμεις, καὶ τὸν ἐν ὀνείρου ἀναστρώσας βασιλέα ἐν τῇ ἑαυτοῦ τείτῃ ὑπατείᾳ, καὶ

ἀδουδα-

ἀδουδατίου τῇ δεκάτῃ τοῦ ἰανουαρίου μηνός, αὖθις ὑπὲρ τὰ ἑσπέρια μέρη, μετὰ στρατοῦ ἐπορεύετο, καταλιπὼν ἀμφοτέρους υἱούς, ἐν τῇ κωνσταντίνου πόλει βασιλεύοντας. ἀπιόντι δὲ αὐτῷ ὑπὲρ τὸν ἴστρον πόλεμον, πλῆθοι τῶν πέραν τοῦ ἴστρου βαρβάρων ἐπηκολούθουν συμμαχεῖν τῷ τυράννου τρόπαιον θραυσμοῦ μηνί. οὐ πολλοῦ δὲ διαλιπόμηνον χρόνου, τὰς γαλλίας κατέλαβε ζιὼ δουάμει πολλῇ. ἐκεῖ γὰρ νυκτερεύοντα ἔχων καὶ αὐτὸς στρατοῦ μυριάδας πολλάς. ἤρξατο οὖν συμβολὴν τρέπειν τὸν πολεμὸν τὸν καλούμενον φείγδον, ὃς ἀπέχει

*

καθ' ὃ μὲν μέρος ῥωμαῖοι τρὸς ῥωμαίους συνεπλέκοντο, ἰσόπαλος ἔτι ἡ μάχη. καθ' ὃ δὲ οἱ συμμαχοῦντες τῷ βασιλεῖ θεοδοσίῳ βάρβαροι, κατ' ἐκεῖνο οἱ ἀντίπαλοι μᾶλλον ἐπεκράτουν. ὁ δὲ βασιλεὺς ὁρῶν τοὺς βαρβάρους ἀπολυμένους, ἐν μείζονι τε ἀγῶνι ἠγωνίσατο, καμὴ ῥίψας ἑαυτὸν, βοηθὸν ἐκ ἀλλαχόθεν, καὶ τὴν αὐτήσεως οὐκ ἠσύχασεν. κακούμενος γὰρ ὁ στρατηλάτης αὐτοῦ τοσοῦτον ἐπερρέωθη· ὥστε ζιὼ τοῖς τρεφαγωνισταῖς εἰσδραμεῖν, καθ' ὃ μέρος οἱ βάρβαροι ἐδιώκοντο, καὶ διαρρῆξαι μὴ τὰς φάλαγγας. τρέπει δὲ εἰς φυγὴν τοὺς τρὸ βεσαχέως διώκοντας. ὑπερήνεγκε δὲ καὶ ἄλλο θαύμαστον ἄξιον. δύεμος γὰρ σφοδρῶς ὑπιπνεύσας, τὰ πεμπόμενα βέλη τρὸς τὸν ἰούλιον, κατ' αὐλῶν τρὸς ἑτέρωσε. οὐμὴν ἀλλὰ καὶ τὸν αὐλοπάλων, μετὰ σφοδροτέρας τῆς ὁρμῆς, ἔφερε κατ' αὐλῶν. τοσοῦτον ἴσχυσεν ἡ τοῦ βασιλέως δύναμις. τοῦτον δὴ τὸν τρόπον ἡλωμένης τῆς πολέμου ἕδρας, ὁ τυράννος τρὸς σκηνὴν μὲν τοῖς τοῦ βασιλέως ποσὶν, ἐδέετο σωτηρίας τυχεῖν. ἀλλὰ τρὸς τοῖς ποσὶ τοῖς αὐτοῦ, ὑπὸ τῶν στρατιωτῶν τῷ κεφαλῷ ἀπετμήθη. ταῦτα πέτρασκεν τῇ ἕκτῃ τοῦ σεπτεμβρίου μηνός, ἐν ὑπατείᾳ ἀρκαδίου τὸ τέταρτον, καὶ ὀνωρίου τὸ δεύτερον. ἀρμογάστης δ' ὁ τῶν ἰουθούγγων κακῶν ἄθλιος, μετὰ δύο τῆς συμβολῆς ἡμέρας φεύγων, ὡς ἔγνω ἐκ εἰ) αὐτῷ βιώσιμα, τῷ οἰκείῳ ξίφει ἑαυτὸν διεχρήσατο.

Ὁ δὲ βασιλεὺς θεοδόσιος ἐκ τοῦ πολεμικοῦ μόχθου κακῶς διετέθη τὸ σῶμα. κζ τρεσδοκήσας δὲ ἐκ τῆς ὑπερθυμίας ἀρρώστιας τέλος ἔχειν αὐτῷ τὰ τῆς ζωῆς, μείζονα τῆς τελευτῆς τρὸ τῶν δημοσίων τρεσμετρεῖτο εἶχε φροντίδα, λογιζόμενος ὅσα καταλαμβάνῃ κακὰ τοὺς ἀνεψιοὺς, βασιλέως τελευτήσαντος. μεταπέμπεται οὖν ἤδη τάχος, τὸν υἱὸν ὀνώριον ἐκ τῆς κωνσταντίνου πόλεως, καταξήσας τὰ ἑσπέρια μέρη βουλόμενος. φθάσαντος δὲ τοῦ υἱοῦ ἐν τῇ μεδιολάνῳ, ἀνερρώσθη τῆς νόσου. ἱπποδρομίας τε ὑπερθέσεως ὑπιτελεσθείσης τρὸς ἀρίστου μὴν ἔρρωτο, τὰς ἱπποδρομίας θεώμενος. μετὰ δὲ τὸ ἄρισον ἐξαίφνης διετέθη κακῶς, καὶ εἰς μὴν τὸν θέατρον τρεσελθεῖν ἐκ ἴσχυσεν. τὸν δὲ υἱὸν τὰς ἱπποδρομίαν ὑπιτελέσαι κελεύσας, νυκτὸς ὑπιγενομένης ἐτελεύτησεν, ἐν ὑπατείᾳ ὀλυβρίου, καὶ τρασβίνου, τῇ ἑπταικαιδεκάτῃ τοῦ ἰανουαρίου μηνός. ἦν δὲ ἐτῶν τρέσβυς ἔτος τῆς ἑβδομοκοστῆς, ἐννενηκοστῆς τετάρτης ὀλυμπιάδος. ἔζησε δὲ ὁ βασιλεὺς θεοδόσιος, ἔτη ἑξήκοντα. ἐβασίλευσε δὲ, ἔτη ις'. τρεσέχει ἡ βίβλος χρόνου, ἐτῶν δεκαεξ, μηνῶν ὀκτώ.

Τάδε περιέχει καὶ ἡ ἕκτη βίβλος.

α' Ὡς τοῦ βασιλέως θεοδοσίου τελευτήσαντος, τὴν ὑὸν αὐτοῦ ἀρκαδιανὸν τὴν βασιλείαν, καὶ τοῦ στρατοῦ μετ' ὀλίγον ἀπὸ τῆς ἰταλίας χωρήσαντος, τοῦ τε ἀρκαδίου αὐτοῖς ὑπεντήσαντος, ἐσυφῖνος ὁ ὑπαρχων παρὰ τοῖς ποσὶ τοῦ βασιλέως, ὑπ' αὐλῶν ἀναιρεῖται.

β' Περὶ τῆς τελευτῆς νεκταρίου, καὶ τῆς ἰωάννου χειροτονίας.

γ' Περὶ ἡλίου, καὶ ἀγωγῆς βίου ἰωάννου τοῦ κωνσταντινουπόλεως ἐπισκόπου.

δ' Περὶ σεραπίωνος τοῦ ἀρχιμάνδρου, καὶ ὅπως δι' αὐτὸν ὁ ἐπίσκοπος ἐχθρὸς τῷ κλήρῳ κατέστη, καὶ πολέμιος.

ε' Οἱ οὐ παρὰ τοῖς ἐν τῷ κλήρῳ μόνον ἰωάννης ὁ καὶ χρυσόστομος, ἀλλὰ καὶ παρὰ τοῖς ἐν τέλει διεφέρετο, καὶ περὶ λεοντίου τοῦ λιβυάρχου.

ς' Περὶ τῆς τυραννίδος γαϊνᾶ τοῦ γότθου, καὶ τῆς ὑπ' αὐτοῦ ἡλιοδώρας τῆς εὐδοκίας ἐν κωνσταντίνου πόλει, καὶ περὶ τῆς ἀναιρέσεως αὐτοῦ.

ζ' Περὶ τοῦ ἡλιοδώρου σχίσματος μεταξὺ τοῦ ἀρχιεπισκόπου θεοφίλου, καὶ τῶν μοναζόντων τῆς ἐρήμου. καὶ ὡς τοὺς ὠριγενιστὰς ὁ θεόφιλος βιβλία ἀναθεματίσε.

η' Περὶ τῶν στιχήρων τῶν νυκτερινῶν ὕμνων τῶν ἁγίων, καὶ τῶν τὸ ὁμοούσιον παρεισαγόντων, ἐν οἷς τῆς ἡλιοδώρας ἐν αὐτοῖς συμβολῆς. καὶ ὅλη ἡ τῶν ἀντιφώνων ὑμνῳδία ἀπὸ ἰγνατίου τοῦ θεοφόρου τὴν ἀρχὴν ἔσχεν.

θ' Περὶ τῶν μακρῶν καλουμένων μοναχῶν, καὶ ὅπως δι' αὐτοὺς ἀσπονδον ἔχθραν ὁ θεόφιλος πρὸς ἰωάννην ἐκίνησε, καθαιρῆσαι τοῦτον ἐσπούδαζεν.

ι' Ὡς καὶ ἐπιφάνιος ὁ κύπρου τῷ θεοφίλου ἀπάτῃς συναπαχθεὶς, ᾧ δοκεῖν καὶ τῶν ὠριγένους συγγραμμάτων, ἐπισκόπων ζηνόδον ἐν τῇ κύπρῳ συναγαγών, ἰωάννην διεμέμψατο, χειροτονίᾳ τοῖς βίβλοις ὠριγένους.

ια' Περὶ σεβηριανοῦ, καὶ λυτρίου τῶν σύρων, ὅπως ἰωάννου ἀπέστησαν, καὶ ἀφ' ἑνὸς αἰτίας.

ιβ' Ὡς καὶ ἐν κωνσταντίνου πόλει εἰσελθὼν ὁ ἐπιφάνιος, συναξὰς ἐπισκοπικὰς κατὰ γνώμην τῶν ἰωάννου, θεοφίλῳ χαριζόμενος.

ιγ' Οἷα φησὶν ὁ συγγραφεὺς περὶ ὠριγένους.

ιδ' Ὡς ἰωάννης προσκαλεσάμενος τὸν ἐπιφάνιον, μὴ ὑπακούσαντα, ἀλλὰ μᾶλλον καὶ ἐν τῇ τῶν ἀποστόλων ἐκκλησίᾳ κατὰ συναγοντα, δηλοῖ αὐτῷ μεμφόμενος, ὡς κατὰ κανόνας πολλὰ παραπονεῖ. ὅθεν ὁ ἐπιφάνιος ἀναχθεὶς ἀνεχώρησε.

ιε' Ὡς μετὰ τὸν ἀπόπλουν ἐπιφανίου, λόγον καὶ γναφέα ἰωάννης δημηγορήσας, καὶ σκεδασθεὶς ἀσπονδῆ τοῦ βασιλέως, καὶ τῆς βασιλίσσης ζηνοδου ἡλιοδώρας ἐν χαλκηδόνι κατ' αὐτοῦ, τῆς ἐκκλησίας ὀξωθεῖται.

ις' Ὡς τοῦ λαοῦ τασιάσαντος, σκάρα τὸν ἀναγνώστην ἰωάννου, βείσων ὁ τῆς βασιλίσσης εὐνοῦχος ἀποσταλεὶς, πάλιν αὐτὸν ἐπανήγαγε ἐν κωνσταντίνου πόλει.

ιζ' Ὡς σκάρα τοῦ βούλεσθαι θεόφιλον, τὰ καθ' ἡμᾶς κλείδου ἀπόντος ἐξεπάζεσθαι, τῶν ἰωάννου φυτιλέοντος, συμπλεκάδος ἡλιοδώρας, πολλοὶ ἀπώλοντο μεταξὺ τῶν κωνσταντινουπολιτῶν καὶ τῶν ἁγιοριτῶν. ἐφ' οἷς φοβηθεὶς θεόφιλος, καὶ

ἕνες τῶν

τινες τῶν ἐπισκόπων τῆς πόλεως, ἐξεκηλύθασι.

Περὶ τῆς ἀργυρᾶς στύλης τῆς εὐδοξίας, καὶ ὡς διατοῦτο πάλιν ἰωάννης τῆς ἐκκλησίας ιη'
ἐξορισθεὶς, εἰς ἐξορίαν ἀπήγετο.

Περὶ ἀρσακίου τοῦ μετὰ ἰωάννην χειροτονηθέντος, καὶ περὶ κυρίνου τοῦ χαλκηδόνος. ιθ'

Ὡς μετὰ ἀρσάκιον, ἀττικὸς τῆς κωνσταντίνου πόλεως θρόνον κατέσχεν. κ'

Περὶ τῆς ἰωάννου πρὸς κύριον ἐν ἐξορίᾳ ἀναγύσεως. κα'

Περὶ σισιννίου ἐπισκόπου ναυατιανῶν, οἷα φησὶ προσομιληκέναι πρὸς ἰωάννην. κβ'

Περὶ τῆς ἀρκαδίου τοῦ βασιλέως τελευτῆς. κγ'

ΣΩΚΡΑΤΟΥΣ ΣΧΟΛΑΣΤΙΚΟΥ ΕΚΚΛΗσιαστικῆς ἱστορίας τόμος ϛ̅. προοίμιον.



Ο μὲν ἐπίταγμά σου ὦ ἱερὲ τοῦ θεοῦ ἄνθρωπε θεόδωρε, ἐν πέντε τοῖς προλαβοῦσι βιβλίοις διεπονησάμεθα, ὡς οἷόν τε τὴν ἀπὸ κωνσταντίνου χρόνων ἐκκλησιαστικὴν ἱστορίαν συγγράψαντες. ἴσθι γὰρ ἡμᾶς μὴ ἐσπουδακέναι περὶ τὴν φράσιν, ἐννοήσαντας ὡσεὶ σπουδάσαιμεν καλλιλεξίᾳ χρήσασθαι, ἴσως μὲν καὶ ἀποπεσούμεθα τοῦ σκοποῦ. εἰ δὲ καὶ ἐπιτευξόμεθα, οὐ τοιαῦτα πάντως δυνησόμεθα γράφειν, οἷα τοῖς παλαιοῖς συγγραφεῦσιν εἴρηται, δι' ὧν αὔξειν τε καὶ χείρονα ποιεῖν νομίζοιτ' ἄν τις τὰ πράγματα. ἔπειτα δὲ καὶ οὐδαμῶς οἰκοδομήσει τοὺς πολλοὺς καὶ ἰδιώτας ὁ λόγος, οἳ τὰ πράγματα βούλονται μόνον εἰδέναι, οὐ τὴν λέξιν ὡς καλῶς συγκειμένην θαυμάσαι. ἵνα μὴ οὖν ἀμφοτέροις ἀνόητος ἡ πραγματεία γένηται, τοῖς μὲν εὐπαιδεύτοις, ὅτι μὴ ἀξίᾳ τῇ παλαιᾷ φράσει συγκρίνεσθαι· τοῖς δὲ ἰδιώταις, ὅτι μὴ δύνασθαι ἐφικέσθαι τῶν πραγμάτων καλυπτομένων ὑπὸ τῆς κομψείας τοῦ λόγου, τὴν σαφεστέραν μὲν δοκοῦσαν, ταπεινοτέραν δὲ φράσιν ἐπιτηδεύσαμεν.

Αρχόμενοι δὲ ὅμως τοῦ ἕκτου βιβλίου, ἐκεῖνο προλέγομεν, ὅτι τῶν ἐπὶ τῆς ἡμετέρας ἡλικίας γενομένων ἁπτόμενοι, δεδοίκαμεν ἤδη, μὴ οὐκ ἀρέσκοντα τοῖς πολλοῖς δόξωμεν γράφειν· ἢ ὅτι κατὰ τὴν παροιμίαν, τὸ ἀληθές ἐστι πικρὸν, ὅτι μὴ σὺν ἐγκωμίῳ τὰ ὀνόματα ὧν φιλοῦσι παραλαμβάνομεν· ἢ ὅτι μὴ τὰς πράξεις αὐτῶν μεγαλύνομεν. καὶ οἱ μὲν τῶν ἐκκλησιῶν ζηλωταὶ καταγνώσονται, ὅτι μὴ τοὺς ἐπισκόπους λέγομεν θεοφιλεστάτους, ἢ ἁγιωτάτους, ἢ τὰ τοιαῦτα. ἄλλοι δὲ καὶ φιλοπραγμονήσουσιν, ἔσθ' ὅτε ὅτι μὴ τοὺς βασιλεῖς, θειοτάτους, καὶ δεσπότας, καὶ ὅσα χρηματίζειν εἰώθασιν, ὀνομάζομεν. ἐγὼ δὲ καὶ ἐκ τῶν τοῖς παλαιοῖς γεγραμμένων παραστήσειν ἔχω, καὶ δεικνύναι δυνάμενος, ὡς ὁ δοῦλος παρ' αὐτοῖς, ἐξ ὀνόματος εἴωθε τὸν δεσπότην καλεῖν, διὰ τὴν τῶν πραγμάτων χρείαν, παρ' οὐδὲν τὸ ἀξίωμα θέμενος, καὶ τῇ τῶν νόμων ἱστορίᾳ πειθόμενος, οἳ τὴν τῶν πραγμάτων ἀπαιτοῦσι διήγησιν, καθαρὰν καὶ ἀληθῆ, καὶ πάντος ἀπηλλαγμένην ἐπικαλύμματος,

ἐπ' αὐτῷ καθιοῦμαι λοιπὸν τῷ δεήσεσιν, ἃ, τε αὐτὸς ἐθεασάμην συγγράφων, ἃ, τε παρ' ἑτέρων ἠδυνήθην μαθεῖν, δοκιμάζων τὰληθές, οὐκ ἐξ μὴ παρελλάπειν τὴν ἀπαγγελίαν τοὺς διηγουμένους αὐτά. ὁπόσον δέ μοι ὁ ἀληθὴς ἐγνωρίζετο, πολλῶν τε καὶ διαφόρων ἀπαγγελόντων, καὶ τῶν μὲν πιθανὰ λεγόντων τοῖς παράγμασι· ὧν ἦν πολὺν μᾶλλον ἀξιοπίστων εἰδέναι.

α Τοῦ δὴ βασιλέως θεοδοσίου τελευτήσαντος, ἐν ὑπατείᾳ ὀλυβρίου καὶ παρεσίνου, τῇ ἑπτακαιδεκάτῃ τοῦ ἰανουαρίου μηνὸς, οἱ αὐτοῦ υἱοὶ τῶν ῥωμαίων ἄρχειν ἐδέχοντο. καὶ ἀρκάδιος μὲν τῶν ἑῴων, ὀνώριος δὲ ὧν ἑσπερίων εἶχε τὸ κράτος. τῶν ἐκκλησιῶν δὲ κατ' ἐκείνους τοὺς χρόνους παρεφυλάκεισαν, ἐν μὲν τῇ βασιλευούσῃ ῥώμῃ δάμασος· ἐν δὲ ἀλεξανδρείᾳ θεόφιλος. τῶν δὲ περὶ τὰ ἱεροσόλυμα ἰωάννης ἐκράτει. φλαβιανὸς δὲ τῶν ἀντιοχέων εἶχε. κατ' ὀλίγον δὲ τὴν νέαν ῥώμην κωνσταντινούπολιν, νεκτάριος εἶχε τὸν θρόνον, καθὰ καὶ ἐν τῷ παρόντι βιβλίῳ ἡμῖν ἱστόρηται. περὶ δὲ τὸν ὀγδοον τοῦ νοεμβρίου μηνὸς, ἐν τῇ αὐτοῦ ὑπατείᾳ, τὸ σῶμα θεοδοσίου κομισθὲν, τῇ νενομισμένῃ κηδείᾳ, ὁ υἱὸς ἐτίμα ἀρκάδιον. οὐκ εἰς μακρὰν δὲ μελαχρῶτα, εἰκάδι ἑβδόμῃ τοῦ αὐτοῦ μηνὸς, κατὰ ὁ φρατὸς πρόωρον, ὃ ἅμα τῷ βασιλεῖ θεοδοσίῳ κατὰ τὸ τυφώνου φραλθύσας. ὡς οὖν ὁ βασιλεὺς ἀρκάδιος κατὰ τὸ εἰωθὸς τῶν πυλῶν ἀπήνυσε τῷ φρατῷ, πυκναῦλα καὶ οἱ φραλιῶται ἐσυφῖνον τὸν ὑπάρχοντα τοῦ βασιλέως ἀπεκάλεσαν. ὑπωπτεύετο γὰρ εἰς τυραννίδα ὁ ἐσυφῖνος, καὶ δόξαν εἶχεν, ὡς αὐτὸς εἴη τοῖς ὄννοις ὧν βαρβάρων ἔθνος ὑπερκαλεσάμενος εἰς τὴν ῥωμαίων χώραν. καὶ γὰρ ἦσαν κατ' ὄκνον τοῦ καιροῦ, ἀρμυρίαι τε, καὶ ἵνα μέρη τῆς ἑῴας καταβρέχοντες. καθ' ὧν οὖν ἡμέραν ὁ ἐσυφῖνος ἀνῄρητο, κατ' αὐτὴν καὶ ὁ ναναδιανῶν ὑπάτου μόρκιανὸς ἐτελεύτησε. καὶ ἀρκαδίκε τὸν ὑπατικὸν σισίννιος, οὗ καὶ ἀνωτέρω ἐμνημονεύσαμεν.

β Ὀλίγου δὲ διελθόντος χρόνου, καὶ νεκτάριος ὁ τῆς κωνσταντινουπόλεως ὑπάτου ἐτελεύτησεν, ἐν ὑπατείᾳ καισαρείου καὶ ἀττικοῦ, περὶ τὸν εἰκάδα ἑβδόμην τοῦ σεπτεμβρίου μηνός. ἀνὴρ οὖν ἀσυδὴς περὶ χειροτονίας ἐγένετο ὑπάτου. ὃς ἀνὴρ ἀνὴρ ὑπὲρ ὑπατείας πολλάκις περιελθούσης βουλῆς, τέλος ἐδόκει ἐκ τῆς ἀνδριοχείας μεταπέμπεσθαι ἰωάννην τὸν τῆς ἀνδριοχέας πρεσβύτερον. φήμη γὰρ ἐκράτει περὶ αὐτοῦ, ὡς εἴη διδασκαλικὸς ἐν ἑαυτῷ καὶ ῥητορικός. ὀλίγου οὖν ἀμφράσμιος χρόνου, ψηφίσματι κοινῷ ὁμοῦ πάντων, κλήρου τε φημὶ καὶ λαοῦ, ὁ βασιλεὺς αὐτὸν ἀρκάδιος μεταπέμπει. ἀφ' ὧν δὲ ἀξιόπιστον τῆς χειροτονίας, πρῶτον μὲν ἐκ βασιλικοῦ περιστάσεως, πολλοί τε καὶ ἄλλοι ὑπάτευσαν, καὶ δὴ καὶ ὁ τῆς ἀλεξανδρείας θεόφιλος, ὅσπερ ἀσυδῶς ἐπῆλθε μὲν ἀμφοτέροις μετὰ τοῦ ἰωάννου δόξαν. ἰσίδωρον δὲ ἐπ' αὐτῷ πρεσβύτερον περὶς τὸν ὑπατικὸν περιχείσαντες, ὃν πάνυ ἠγάπα, ὅθεν ἐπ' αὐτῷ πολὺ κινδυνώδες ὑπόπτωμα ἀνεδέξατο. τί γὰρ ὅδε, λεκτέον. ἡνίκα ὁ βασιλεὺς θεοδόσιος, περὶς τὸν τύφωνον ἠγωνίζετο μάξιμον, θεόφιλος ἀφ' ἰσιδώρου ξένια πέμπων βασιλεῖ, διατὰς αὐτοῦ ὑπίσχνειτο ἐπιχειρήσειν, ἐντελεῖ μόνος περισενεγκεῖν τῷ νικήσαντι καὶ τὰ δῶρα, καὶ τὰ χρήματα. τούτοις ἀμφικονούμενος ἰσίδωρος, καταλαβὼν τὸν ῥώμυλον, τῇ νίκῃ ἐφέδρευεν. ἀλλ' οὐκ ἐς μακρὰν ὁ νικόμενον ἔλαθεν, ἀναγνόντος τὸ σεμνόντος αὐτοῦ, ταῖς ὑπισχνήσεσιν ὑπικλέπτοντος. ὃ ἕνεκεν ὁ ἰσίδωρος ἐν φόβῳ γενόμενος, ὡς εἶχεν ὅτι τὸν ἀνεξανδρέαν

ξιώσεραν ἔφθη. αὕτη τοίνυν φασὶ τὸν θεοφίλη, τὸν ἐπ' ἰσιδώρου ἀποδῆξαι. οἱ μὲν
τοι τὰ βασίλεια, τὸν ἰωάννην τοῦ ἐκρίναν. ὅπως δὲ καθηρέθη τοῦ θεοφίλου
πολλοὶ διέκεινται, βιβλία τε κατ' αὐτοῦ, λόγος δ' ἀνὴρ αἰτίαν τοῖς πρόσθεν ὑπι-
σχνοῦσιν ἐδίδοσαν, ὁ τοιοῦτος τοῦ βασιλικοῦ κοιτῶνος διὰ τρόπιος λαβὼν τὰς ἐγ-
γράφους καθηρέσεις, ἐπέδωκεν τῷ θεοφίλῳ εἰπών, ὑπογράψον ἔχειν, ἢ μεθοῦσιν ἰω-
άννην, ἵνα τὰς κατ' αὐτοῦ καθηρέσεις εἰς ἔλεγχον ἀγάγοιμι. ταῦτα φοβηθεὶς ὁ θεό-
φιλος, τὸν ἰωάννην ἐμεθόδευσε. μεθοδευθεὶς οὖν τοῦ τὸν ὑπισχνουμένου ἱερωσύ-
νην, ἐν θρονίζεσθαι τῇ εἰκάδι ἕκτῃ τοῦ φεβρουαρίου μηνός, ὑπαλείᾳ τῇ ἑξῆς, ἢ
ἐπετέλουν ἐν μὲν τῇ ῥώμῃ, ὁ βασιλεὺς ὀνώριος· ἐν δὲ τῇ κωνσταντίνου πόλει, δυτυ-
χιανός, ὁ τότε τῶν βασιλέων ὑπάρχης. ἐπεὶ δὲ ἐκφανὴς ὁ δυὴρ, ὃς ὧν τε κατέλε-
πε λόγων, καὶ ἐξ ὧν πολλοῖς δήνοις μεθιέπεσεν, ἄξιον ἡγοῦμαι μὴ σιγῆσαι τὰ κατ'
αὐτόν· ἀλλ' ὡς οἷόν τε τὰ μᾶλλον μακροτέρων λεχθησόμενα συσταλῶ, εἰπεῖν τε ὅθεν
ἰών, καὶ ἐκ τίνων, ἔς ὅπως ὅπως τὸν ἱερωσύνῃ ἐκλήθη, ὅπως τε ἀφηρέθη αὐλῆς, καὶ ὡς
μᾶλλον θάνατον ἐτιμήθη μᾶλλον, ἢ φευγών.

Ἰωάννης, διάπορος μὲν ἐκ τῆς κοίλης συρίας· ἡ δὲ σκοτώδου, καὶ μηδὲν δι- γ
δούσης, ἐξ ἀπαιδεύτων τῶν ἐκεῖ· μαθητὴς ἦν ἐλπίδιος τοῦ σοφιστοῦ, ὃ
ἀκροατὴς διάδοχος τοῦ φιλοσόφου. μαθὼν δὲ ὅτι δικανικὴν ὁρμᾷν, καὶ σῖτι-
δῶν τὸν ἐν τοῖς δικαστηρίοις μοχθηρὸν καὶ ἄδικον βίον, ὅτι τε ἡσύχιον μᾶλλον ἐπε-
πέτο. καὶ τοῦτο ἐποίησε, ζηλώσας διάγελον, ὃς δὲ αὐτὸς φοιτῶν τῶν τοῖς αὐτοῖς δι-
δασκάλοις, τὸν ἡσύχιον πάλαι βίον μετήρχετο. διάδυς τε καὶ μεταβὰς ὅ ἄημα, καὶ
βάδισμα, τοῖς διαγινώσμασι τῶν ἱερῶν γραμμάτων προσεῖχε τὸν νοῦν καὶ συνε-
χεῖς ἐποιεῖτο τὰς ὅτι τῶν ἐκκλησιῶν ἀποδάς. πείθει ὃ καὶ θεόδωρον δὲ μάξιμον,
συμφοιτητὰς αὐτοῦ ὄντας τῶν τῷ ὁσιοτάτῳ λιβανίῳ, καταλιπεῖν μὲν τὸν χρημα-
τιστικὸν βίον, μελιέναι δὲ τὸν λιτόν. ὧν θεόδωρος μὲν ὕστερον, μόνου ἐσίας τὸν ἐν κιλι-
κίᾳ πόλεως ὑπίσκοπος γέγονε· μάξιμος δὲ σελευκείας τὸν ἐν ἰσαυρίᾳ. τοιγαροῦν
ταῦτα οὖν οὗτοι ἀποδάροι τοῦ τὸν ἀρετὴν καὶ μόνοι, μαθηδύοσιν ὡς τὰ ἀσκητικά,
καὶ θεόδωρος, καὶ καρτερίᾳ, οἵ τινες τότε μὲν ἀσκητηρίῳ τοιοῦτοι. καὶ θεόδωρος δὲ αὐ-
τῶν ὕστερον, ὑπίσκοπος ταρσοῦ καὶ μόνος, πολλὰ βιβλία συνέγραψε, ψιλῷ τῷ
γράμματι, τῶν θείων τοιοῦτον τὰς θεωρίας αὐτῶν ἐκδεπόμενος. ταῦτα
μὲν οὖν τοῦτων. ἰωάννης δὲ ἅμα βασιλείῳ, ᾧ ποτὲ μὲν διακόνῳ ἐπὶ μετ-
λείᾳ καλασθένει, μεταταῦτα δὲ καὶ καθέας τὸν παπαδοκλῆ ὑπισκόπῳ,
τὰ πολλὰ συνδιάγοντα, ζηλῶν ὁ ὑπίσκοπος ἐκ τῶν ἱεροσολύμων ἐπιστρέφων,
ἀναγνώσην τῆς ἐν ἀντιοχείᾳ ἐκκλησίας καθίστησιν. ἐν τῇ τοῦ ἀναγνώστου οὖν τά-
ξει καθεστὼς, τὸν κατ' ἰουδαίων λόγον σῦν ἐτάξεν. μετ' οὐ πολὺ δὲ καὶ τὸν διακό-
νου ἀξίας τῶν μεγέθει λυχνῶν, τοῖς περὶ ἱεροσύνης λόγοις συνέταξε, καὶ τοῖς τῆς
παγκάριον. ἔτι μὴν, ἔς τοῖς περὶ ἀναβαπτίστου, καὶ τοῖς περὶ τῶν ζωφθάκτων. με-
ταταῦτα δὲ μεγέθει ἐν κωνσταντίνου πόλει τελευτήσαντος, ἐκ δὲ τῶν διακονείᾳ,
διὰ τὸν χρηστοῦ τοῦ ναζιανζηνοῦ καθάσασιν, ἀναχωρήσας ἰωάννης τῶν μεγε-
θιανῶν, καὶ μήτε παυλίνῳ συγκοινωνῶν, ὅπερ τῆς ὅλης ἀνατολῆς ἠσύχως διῆγε.
ὕστερον δὲ παυλίνου τελευτήσαντος, ἐπὶ τὸν διακόνου τοῦ διαδεξαμένου παυλῖνον
μεθέστηκεν πρεσβύτερος. αὕτη μὲν ἡ ἰωάννου τοῦ τῆς ὑπισκόπης, ὡς σῦν τῷ-

μως εἰπεῖν, διαγωγή. ἦν δὲ ἄνθρωπος, ὥς φασι, διὰ ζῆλον σωφροσύνης πικρότερος, καὶ πλέον, ὡς ἔφη τις τῶν οἰκειοτάτων αὐτῷ ἐκ νέας ἡλικίας, θυμῷ μᾶλλον, ἢ αἰδοῖ ἐχαρίζετο. καὶ διὰ μὲν ὀρθότητα βίου, οὐκ ἀσφαλὴς πρὸς τὰ μέλλοντα· δι' ἁπλότητα δὲ εὐχερής. καὶ εὐθεροστομίᾳ τε πρὸς τοὺς ἐντυγχάνοντας ἀμέτρως ἐκέχρητο. καὶ ἐν μὲν τῷ διδάσκειν, πολὺς ἦν ὠφελῆσαι τὰ τῶν ἀκουόντων ἤθη. ἐν δὲ τῶν συντυχίαις, ἀλαζονικὸς τοῖς ἀγνοοῦσιν ἐνομίζετο αὐτόν.

δ) Τοιοῦτος ὢν τὸ ἦθος, καὶ ἐπὶ τὴν ἐπισκοπὴν προβληθεὶς, μείζονι ἢ ἐχρῆν τῇ ὀφρύϊ κατὰ τῶν ὑπηκόων ἐκέχρητο, διορθοῦν τοὺς βίους τῶν ὑφ' αὑτῷ κληρικῶν, ὡς ᾤετο προαιρούμενος. εὐθὺς οὖν ἐν ἀρχῇ φανεὶς τοῖς τῆς ἐκκλησίας τραχὺς, ὑπ' αὐτῶν ἐμισεῖτο, πολλοί τε πρὸς αὐτὸν ἀπηχθάνοντο, καὶ ὡς ὀργίλον ἐξέκλινον. ἐνῆγε δὲ αὐτὸν πρὸς τὸ πᾶσι προσκρούειν, σαραπίων διάκονος, ὑπ' αὐτῷ ταττόμενος. καί ποτε παρόντων τῶν κληρικῶν, μεγάλῃ τῇ φωνῇ πρὸς τὸν ἐπίσκοπον τοιοῦτον λόγον ἐφθέγξατο. οὔποτε ὦ ἐπίσκοπε τούτων κρατῆσαι δυνήσῃ, εἰ μὴ μιᾷ ῥάβδῳ πάντας καίνοις. τοῦτο λεχθὲν, τὸ κατὰ τοῦ ἐπισκόπου μῖσος ἐξήγειρεν. ὁ δὲ ἐπίσκοπος οὐκ εἰς μακρὰν, πολλοὺς τῆς ἐκκλησίας, ἄλλον δι' ἄλλην αἰτίαν ἐξέβαλλεν. οἱ δὲ, οἷα φιλεῖ γίνεσθαι ἐν τῷ τοιαύταις τῶν κρατούντων ὁρμαῖς, φατρίας συνίστασαν κατ' αὐτοῦ, καὶ διαβολαῖς πρὸς τὸν δῆμον ἐκέχρηντο. εἰς πίστιν δὲ ἦγεν τοὺς ἀκούοντας τὰ λεγόμενα, τὸ μὴ βούλεσθαι τὸν ἐπίσκοπον (ὑνεσθίειν τινὶ, μὴ δὲ καλούμενον ἐφ' ἑστίαν, παραγίνεσθαι. ἐξ οὗ καὶ μάλιστα ἡ μείζων ἐκράτησε διαβολὴ κατ' αὐτοῦ. καὶ τίνι μὲν σκοπῷ συνεσθίειν οὐδενὶ προῄρητο, σαφῶς οὐδεὶς ἀπαγγεῖλαι δεδύνη). οἱ μὲν γὰρ ὑπὲρ αὐτοῦ ἀπολογεῖσθαι βουλόμενοι, ἔφασκον ὡς εἴη ἐμπαθὴς, καὶ διαφόρως τὰ σιτία προσφέροιτο, καὶ διὰ τοῦτο μόνος ἐσθίει. ἄλλοι δὲ, ὅτι δι' ὑπερβαλλούσαν ἄσκησιν τοῦτο ἐποίει. ὅπως δὲ ἀληθείας ἂν εἶχε τὸ γινόμενον, οὐ μικρὰ συνεβάλλετο πρὸς διαβολὴν, τοῖς κατηγοροῦσιν αὐτοῦ. ὁ μέντοι λαὸς δι' αὐτοὺς ἐν τῇ ἐκκλησίᾳ γενομένους ὑπ' αὐτοῦ λόγους, σφόδρα συνεκρότει, καὶ ἠγάπα τὸν ἄνθρωπον μικρὰ φροντίζων τῶν κατηγορεῖν ἐπιχειρούντων αὐτοῦ. ὁποῖοι δέ εἰσιν οἵ, τε ἐκδοθέντες αὐτοῦ λόγοι, καὶ οἱ λέγοντες αὐτοῦ ὑπὸ τῶν ὀξυγράφων ἐκληφθέντες, ὅπως τὲ λαμπροὶ, καὶ τὸ ἐπαγωγὸν ἔχοντες, τί δεῖ νῦν λέγειν, ἐξὸν τοῖς βουλομένοις αὐτοὺς ἀναλέγεσθαι, καὶ τὴν ἐξ αὐτῶν ὠφέλειαν καρποῦσθαι.

ε) Εως μὲν οὖν τῷ κλήρῳ μόνῳ προσέκρουεν, ἀσθενὴς ἦν ἡ σκευωρουμένη ἡ κατ' αὐτοῦ μηχανή. ἐπεὶ δὲ καὶ πολλοὺς τῶν ἐν τέλει πέρα τοῦ προσήκοντος ἐξελέγχειν ἐπειρᾶτο, τηνικαῦτα καὶ ὁ κατ' αὐτοῦ φθόνος πλείων ἐξήπτετο. καὶ πολλὰ μὲν ἠλέγετο κατ' αὐτοῦ. τὰ πλεῖστα δὲ λοιπὸν καὶ πίστιν ἐνεποίει τοῖς ἀκούουσι. προσθήκην δὲ τῇ διαβολῇ ἐποίει, ἡ κατὰ εὐτροπίου τότε λεχθεῖσα ὑπ' αὐτοῦ προσομιλία. εὐτρόπιος γὰρ εὐνοῦχος προεστὼς τοῦ βασιλικοῦ κοιτῶνος, καὶ τὴν τῶν ὑπ' αὐτοῦ ἀξίαν πρῶτος εὐνούχων παρὰ βασιλέως λαβὼν, ἀμύνασθαί τινας προσφεύγοντας τῇ ἐκκλησίᾳ βουλόμενος, σπουδὴν πεποίητο νόμον παρὰ τῶν αὐτοκρατόρων προτεθῆναι, κελεύοντα μηδένα προσφεύγειν τῶν ἐκκλησίαις, ἀλλὰ καὶ τοὺς ἤδη προσφεύγοντας ἀφαίρεσθαι. δίκη δὲ εὐθὺς ἐπηκολούθει. προὔκειτο γὰρ ὁ νόμος, καὶ μετ' οὐ πολὺ προσκρούσας ᾧ βασιλεῖ ὁ εὐτρόπιος, ἐν τοῖς πρόσφυξιν ἦν.

φυξιν ἰῶ. ὁ οὖ ὀπίσκοπος τῆ Δ'ξοπίου ἐπὸ ὃ θυσιαστήριον κειμήλιον, καὶ ἐκπεπληγότος ἐπὸ τῆ φόβου, καθεθεὶς ἐπὸ τοῦ ἀμμωνος, ὅθεν εἰώθη ἡ πυθία χρᾶν ὁμιλῶν χάειν τ' ὀξακούεαζ, λόγον ἡεξικλικὸν ὀξέτεινε κατ' αὐτ', ἐφ' ᾧ πλέον ἐδόκει πυθοκρούειν ὑσίν, ὅλι τὸν ἀτυχοῦντα οὐ μόνον οὐκ ἠλέᾳ, ἀλλ' ἐκ τ' ἐνημίου καὶ ἤλεγχεν. Δ'ξοπίου μὴ οὖ ὅτε τιὴ ὕπατον ἀξίαν ἐγχειζόντος, δι' ἣν τὰ πατρώα ὁ βασιλεὺς τιὴ κεφαλιὴ ἀπολωθῶσαι ἐκέλευσεν. ἐκ δὲ τῆ καταλόγου τῆ ὑπάτων πυθηρέθη τ' ὄνομα, καὶ μόνου τοῦ συνυπαλλάσσοντος θεοδώρου ἐγένετο. λόγος δὲ, ὅλι ὁ ὀπίσκοπος ἰωαννης, καὶ γαϊνᾶ τὸν τιμοθεαῦλα τραπεζάτιν τῆ συνήθει παῤῥησία χρώμενος ἐκέλευσεν, ὅτι μὴ ἐκκλησίαν τῆ ἐντὸς ἧς πόλεως πυθενεμηθῶσαι τοῖς ὁμοθρήσκοις αὐτ' ἀρειανοῖς πᾶσαν τ' βασιλέως αἰτῆσαι ἐτόλμησεν. ἄλλον τε δι' ἄλλην αἰτίαν τῆ κατοικιῶν ἐξήλεγχεν ἢ παῤῥησία πολλὴ, δι' ἣν πολλοῖς ἀμάφορος ἰῶ. ὅθεν καὶ θεόφιλος ὁ ἀλεξανδρέας ὀπίσκοπος Δ'θὺς μὴ τιὴ χαλκονίαν, ἐπενόει ὅπως αὖθις σκδωρήσῃ). καὶ ἴσι μὴ τῶν παρόντων πυθ' ἐτούτου χρυφαίως διηγέετο. πολλοῖς δὲ καὶ τῆ μακρὰν ἀπόντων, τιὴ οἰκείαν διήγειλε βάλησιν. ἡγεῖτο γὰ αὖθις ἀ μόνον ἡ ὑπερβαλλούσα ἰωαννου παῤῥησία, ἀλλ' ὅλι καὶ ἰσίδωρον τὸν πρεσβύτερον ἐπ' αὐτῷ καπόλιτον, ἧς τιὴ ὀπισκοπὴν κωνσανλίνου πόλεως πυθαλλεσθαι οὐκ ἤθελεν. ἐν τούτοις μὲ, τὰ τ' ἰωαννίδι τ' ὀπίσκοπον ἰῶ. καὶ Δ'θὺς ἐν ἀρχῇ κατ' αὐτ' ὤδινε τ' κακόν. καὶ τὰ μὴ πυθὶ αὐτ', πυθιόντες δηλώσομεν.

Παῤῥαδειγμα δὲ ἄξιον μνήμης ὀπὶ τῆδε ὧν χρόνων γινόμενον διηγήσομαι, δηλῶν ὅπως ἡ τ' θεοῦ πρόνοια, τιὴ πόλιν καὶ τὰ ῥωμαίων οὐ μείζου κινδύνου παραδόξοις βοηθείαις ἐῤῥύσαλο. τί δ' ἐστὶ τοῦτο, λεκτέον. γαϊνᾶς μὴ βάρβαρος ἰῶ τὸ γένος. ἐπὸ ῥωμαίοις δὲ γινόμενος, καὶ τραπεζίαν πυθομιλήσας, ἐπὶ θρακὴ δὲ πυθελάσας, τέλος τραπεζάτης ῥωμαίων, ἱππικῆς τε καὶ πεζικῆς δυνάμεως ἀπεδείκνυλο. ὁπλομάχος δὲ τ' τηλικαύτης δυνάμεως ἐάσας, ἑαυτὸν οὐκ ἐνόμισεν, οὐδὲ τ' ἑαυτῷ ἀρμόσειν κατέγνω ἡδυάλο. ἀλλὰ πάντα λίθον, ὃ δὴ λεγόμενον οὐκ ἔνο, ἐκίνᾳ, ὅπως μὴ ὑφ' ἑαυτὸν τὰ ῥωμαίων ποιήσῃ. καὶ πῶ μὴ ὃ γότθων ἔθνος ἐκ τ' αὐτοῦ χώρας μεθεπέμψαλο. τοὺς δὲ αὐτῷ ὁπιτηδείους τῆ τραπεζιτικῆς ἀριθμῶν, τούτοις ἔνεμε πρεσκυάζειν. πειθομένου δὲ ἑνὸς τῆ αὐτ' συγγενῶν χιλιαρχῶντος ὧν ἱδρυμένων ἐν τῇ φρυγίᾳ τραπεζιτῶν, καὶ γνώμη γαϊνᾶ νεωτερήσαντος, ἐς τὰ φρυγῶν ἔθνη πᾶσι πυθαπασιν ἀναῤῥέποντος, αὖθις ὀπιβαπῆναι ἑαυτῷ κατασκευάζῃ τιὴ τῆ ἐκ πυθαμῖ φρυγίδα. ἔπειτα ὁ βασιλεὺς ἀρκάδιος ὑδὲν πυθφθόμενος, ἑτοίμως ἐπέτρεψεν. ἐ ὃς Δ'θὺς ἐπορεύετο, ὧ μὴ λόγῳ, τ' πειθομένου· τῆ δ' ἔργῳ, τυραννίσαι βουλόμενος. ἦγε δὲ μεθ' ἑαυτ' γότθων βαρβάρων ὀκ ὀλίγας χιλιάδας. καὶ καταλαβὼν τιὴ φρυγίαν, πᾶσα ἀνέτρεπεν. Δ'θὺς οὖ ἐν τάραχῃ ἰῶ τὰ ῥωμαίων, οὐ μόνον διὰ τὸ πυθὸν ὧ γαϊνᾶ πλῆθος βαρβάρων, ἀλλ' ὅτι καὶ τὰ τ' ἑῴας ὀπίκαιρα μέρη κινδυνεύειν ἔμελλε. τότε δὴ ὁ βασιλεὺς γνώμη χρηῇ πυθὸς τὸν παρόντα καιρὸν χρησάμενος, τέχνῃ μετῆλθε τ' βάρβαρον. διαπεμπάμενος γοῦν πυθὸς αὐτὸν, πᾶσι λόγοις καὶ ἔργοις θεραπεύειν ἕτοιμος ἰῶ. τούτου δὲ ἐξαιρῶντος δύο τῶν πυθόντων τ' συγκλήτου ἀνδρας ἀπὸ ὑπάτων, οἷς ἐπενόει ἐκκόπτειν αὐτ' τὰς ὁρμὰς, σαθρὸν, καὶ ἀφιλιανὸν, ἄκων αὖθις

τῇ ἀνάγκῃ τοῦ καιροῦ πρᾶξαι ὁ βασιλεύς. καὶ οἱ μὲν ὑπὲρ τοῦ κοινοῦ, προαποθνήσκειν αἱρούμενοι, γενναίως τῇ τοῦ βασιλέως κελεύσει ὑπήκουον. καὶ πόρρω τῆς χαλκηδόνος, ἐν χωρίῳ ἱπποδρόμῳ ἀπήντων, ἕτοιμοι πάσχειν πᾶν ὁτιοῦν ὁ βάρβαρος ἤθελεν. ἀλλ' οὗτοι μὲν οὐδὲν φαῦλον ὑπέμειναν. ὁ δὲ αἰκιζόμενος, πρᾶξιν ἐπὶ τὴν χαλκηδόνα. ἀπήντα δὲ ἐκεῖσε καὶ ὁ βασιλεὺς ἀρκάδιος. γενόμενοί τε ἐν τῷ μαρτυρίῳ, ἔνθα τὸ σῶμα τῆς μάρτυρος εὐφημίας ἀπόκειται, ὅρκοις ἐπιστοῦντο ἀλλήλοις, ὅ, τε βασιλεὺς καὶ ὁ βάρβαρος ἡμῖν μὴ ἐπιβουλεύσειν ἀλλήλοις. ἀλλ' ὁ μὲν βασιλεὺς εὔορκός τις ἀνὴρ καὶ διατοῦτο θεοφιλής, τοῖς ὅρκοις ἐνέμεινε. γαϊνᾶς δὲ πρεσπόνδει τε, καὶ τοῦ οἰκείου σκοποῦ οὐκ ἐξέβαινεν. ἀλλ' ἐμπρησμούς τε καὶ λαφυραγωγίας ἐμελέτα ποιήσασθαι κατά τε τῆς κωνσταντίνου πόλεως, καὶ καθ' ὅλης εἰ δύναιτο τῆς ῥωμαίων ἀρχῆς. βεβαρβάρωτο οὖν ἡ πόλις ὑπὸ τῶν πολλῶν μυριάδων, καὶ οἱ αὐτῆς οἰκήτορες ἐν αἰχμαλώτων μοίρᾳ ἐγένοντο. τοσοῦτος δὲ ἦν ὁ ἐπικρεμασθεὶς τῇ πόλει κίνδυνος, ὡς καὶ κομήτην μέγιστον ἐκ τοῦ οὐρανοῦ, καὶ μέχρι τῆς γῆς διήκοντα, καὶ οἷτι οὐδεὶς ἐθεάσατο πρότερον, μηνύειν αὐτόν. ὁ μέντοι γαϊνᾶς, πρῶτον μὲν ἐπειράσθη ἀναίδην δι' ἁρπαγὴν τοῦ δημοσίᾳ ἐν τοῖς ἐργαστηρίοις πωλουμένου ἀργυρίου ποιήσασθαι. ὡς δὲ φήμης προμηνυθείσης, ἐφυλάξαντο προθεῖναι ἐν τῇ τραπέζαις τὸν ἄργυρον, αὖθις ἐπὶ ἑτέραν χωρεῖ βουλήν. καὶ νυκτὸς μὲν οὔσης, ἐκπέμπει πλῆθος βαρβάρων, ἐπὶ τὸ ἐμπρῆσαι τὰ βασίλεια. τότε δὴ καὶ ἐδείχθη περιφανῶς, ὅπως ὁ θεὸς πρόνοιαν ἐποιεῖτο τῆς πόλεως. ἀγγέλων γὰρ πλῆθος ὤφθη τοῖς ἐπιβουλεύουσιν ἐν σχήματι ὁπλιτῶν, μεγάλα ἐχόντων τὰ σώματα. οὓς ὑποτοπήσαντες οἱ βάρβαροι, ἀληθῶς εἶναι στρατὸν πολὺν καὶ γενναῖον, κατεπλάγησάν τε, καὶ ὑπανεχώρησαν. ὡς δὲ ἀγγελθὲν τοῦτο τῷ γαϊνᾷ, πέρα πίστεως κατεφαίνετο· ἠπίστατο γὰρ μὴ πρᾶξαι τὸ πολὺ τῶν ῥωμαίων ὁπλιτικόν, κατὰ τὰς πόλεις γὰρ ἐνίδρυτο· πέμπει καὶ αὖθις ἑτέρους τῇ τε ἐχομένῃ νυκτὶ, καὶ μεταταῦτα πολλάκις. ὡς δὲ καὶ διαφόρως ἀποστείλαντι, τὰ αὐτὰ ἀπηγγέλετο· ἀεὶ γὰρ οἱ τοῦ θεοῦ ἄγγελοι τὴν αὐτὴν τοῖς ἐπιβουλεύουσι πρᾶξαι φαντασίαν· τέως αὐτὸς (ἐν πλήθει πολλῷ προσελθὼν, πεῖραν λαμβάνει τοῦ θαύματος. ὑπονοήσας δὲ ἀληθῶς στρατιωτῶν εἶναι) πλῆθος, καὶ τοῦτο δι' ἡμέρας μὲν λανθάνειν, νύκτωρ δὲ πρὸς τὴν αὐτοῦ ἐπιχείρησιν ἀντέχειν, τεχνάζεται βούλησιν, ὡς μὲν ἐνόμιζεν, ῥωμαίοις βλάπτουσαν, ἐπωφελῆ δὲ, ὡς ἔκτασις ἔδειξεν. ὑποκρινόμενος γὰρ δαιμονᾶν, ὡς εὐξόμενος τὸ μαρτύριον τοῦ ἀποστόλου ἰωάννου, ἑπτὰ δὲ σημείοις τοῦτο ἀπέχον τῆς πόλεως, καταλαμβάνει. συνεξήεσθαι δὲ αὐτῷ καὶ οἱ βάρβαροι, τὰ ὅπλα κρυφαίως ἐξάγοντες, τοῦτο μὲν, κεράμοις κατακρύψαντες· τοῦτο δὲ, καὶ ἑτέραις χρώμενοι μηχαναῖς. ὡς δὲ οἱ φρουροὶ τῶν πυλῶν τὸν δόλον εὑρόντες, ἐκφέρεσθαι τὰ βέλη διεκώλυον, οἱ βάρβαροι τὰ ξίφη σπασάμενοι, τοὺς φρουροὺς διεχρήσαντο. θόρυβός τε ἐντεῦθεν τὴν πόλιν εἶχε δεινὸς, καὶ πᾶσιν ἀθάνατος πρᾶξαι ἐδόκει. ἀλλ' ὅμως ἡ μὲν πόλις ἐν τῷ ἀσφαλεῖ τότε ἐγίνετο, τῶν πανταχῆ πυλῶν αὐτῆς ὠχυρωμένων. γνώμῃ δὲ χρηστῇ ὁ βασιλεὺς ἐν καιρῷ ἐχρήσατο, καὶ φανερὸν πολέμιον εἶναι τὸν γαϊνᾶν, κελεύει τοὺς ὑπολειφθέντας ἐν τῇ πόλει βαρβάρους ἀναιρεῖσθαι. μιᾶς τε ἐν μέσῳ μετὰ τὴν τῶν πυλῶν ἀναίρεσιν διαγενομένης ἡμέρας, συμβαίνουσιν οἱ πρόντες στρατιῶται τοῖς βαρβάροις ἐντὸς τῶν πυλῶν, περὶ τὴν ἐκκλησίαν ὧν

γότθων.

γότθων. ἐνταῦθα γὰρ πάντες οἱ ὑπολειφθέντες ἠθροίσθησαν. καὶ αὐτὴν μὲν ἐμπιμπρῶσιν. ἀναιροῦσι δὲ αὐτῶν σφόδρα πολλοὺς. ὁ γαϊνᾶς δὲ μαθὼν ἀνῃρῆσθαι τοὺς μὴ φθάσαντας ἐξελθεῖν τῶν πυλῶν, γνούς τε μηκέτι αὐτῷ προχωρεῖν τὰς ἀπάτας, ἄρας ἀπὸ τοῦ μαρτυρίου, ἤλαυνεν ἐπὶ τὰ θρᾴκια μέρη. καὶ καταλαβὼν τὴν χερρόνησον, ἐξ αὐτῆς διαπεραιοῦσθαι, καὶ καταλαμβάνειν τὴν λάμψακον ἐσπούδαζεν· ὅπως ἂν ἐντεῦθεν τῶν ἑῴων μερῶν κρατῆσαι δυνήσεται. ὡς δὲ ὁ βασιλεὺς ἔφθη δύναμιν ἀποστείλας διά τε γῆς καὶ θαλάσσης, ἐνταῦθα πάλιν τῆς τοῦ θεοῦ προνοίας θαυμαστὸν ἔργον ἐδείκνυτο. ὡς γὰρ οἱ βάρβαροι ἀποροῦντες πλοίων, σχεδίας συμπήξαντες, ἐπ' αὐτῶν ἐπεραιοῦντο, ἑτέρων ῥωμαίων στρατιωτικαὶ νῆες ὅσον οὐδέπω παρῆσαν, ἄνεμός τε ζέφυρος πνεῖ σφοδρός. καὶ οἱ μὲν ῥωμαῖοι τὰς νηυσὶ ῥᾳδίως διεξέπλεον. οἱ δὲ βάρβαροι ἅμα τοῖς ἵπποις ἐν τῇ σχεδίαις ὑπὸ τοῦ κλύδωνος ἀναῤῥιπτούμενοι, ἐξελικμῶντο, καὶ ἐφθείροντο ἐν τῇ θαλάσσῃ. πολλοὶ δὲ καὶ ὑπὸ τῶν ῥωμαίων ἀπώλλυντο. οὕτω μὲν οὖν τότε πλεῖστον πλῆθος τῶν βαρβάρων ἐν τῷ διέκπλῳ ἀπώλετο. γαϊνᾶς δὲ ἀναζεύξας, καὶ διὰ τῆς θρᾴκης φυγῇ χρώμενος, περιπίπτει ἑτέρᾳ δυνάμει ῥωμαίων, καὶ ἀναιρεῖται ἅμα τοῖς σὺν αὐτῷ βαρβάροις. καὶ ταῦτα μὲν ὡς ἐν ἐπιδρομῇ γαϊνᾷ, ἀποχρώντως λελέχθω. εἰ δὲ τῷ φίλον ἀκριβῶς μαθεῖν τὰ ἐκείνῳ τῷ πολέμῳ γεγενημένα, ἐντυγχανέτω τῇ γαϊνίᾳ, τοῦ σχολαστικοῦ εὐσεβίου, ὃς ἐφοίτα μὲν τηνικαῦτα παρὰ τρωΐλῳ τῷ σοφιστῇ. αὐτόπτης δὲ τοῦ πολέμου γενόμενος, ἐν τέσσαρσι βιβλίοις ἡρωϊκῷ μέτρῳ τὰ γενόμενα διηγήσατο. καὶ προσφάτων ὄντων τῶν πραγμάτων σφόδρα ἐπὶ τοῖς ποιήμασιν ἐθαυμάσθη. καὶ νῦν δὲ ὁ ποιητὴς ἀμμώνιος τὴν αὐτὴν ὑπόθεσιν ῥαψῳδήσας, ἐν τῇ ἑκκαιδεκάτῃ ὑπατείᾳ τοῦ νέου θεοδοσίου, ἣν ἅμα φαύστῳ ἐπετέλει, ἐπὶ τοῦ αὐτοῦ αὐτοκράτορος ἐπιδειξάμενος, λαμπρῶς εὐδοκίμησε. τέλος δὲ ἔσχεν οὗτος ὁ πόλεμος, ἐν τῇ ὑπατείᾳ στελίχωνος, καὶ αὐρηλιανοῦ. τὴν δὲ ἑξῆς ὑπατείαν ἐδίδου φραΰϊτος, γότθος μὲν αὐτὸς τῷ γένει, μεγάλῃ δὲ εὐνοίᾳ τῇ πρὸς ῥωμαίους χρησάμενος· μεγάλα δὲ καὶ ἐν τῷδε τῷ πολέμῳ ἀγωνισάμενος, διὸ καὶ τῆς τοῦ ὑπάτου ἀξίας μετέσχεν, καθ' ἣν τίκτεται τῷ βασιλεῖ ἀρκαδίῳ υἱὸς, ὁ ἀγαθὸς θεοδόσιος, τῇ δεκάτῃ τοῦ ἀπριλλίου μηνός. τοσαῦτα μὲν οὖν περὶ τούτων εἰρήσθω. τηλικούτων δὲ τότε κατειληφότων τὰ ῥωμαίων πράγματα, οἱ τὴν ἱερωσύνην πεπιστευμένοι τοῦ ῥάπτειν καθ' ἑαυτῶν δόλους ἐφ' ὕβρει τοῦ χριστιανισμοῦ, οὐδαμῶς ἀπείχοντο. καὶ γὰρ ἐν τούτῳ τῷ χρόνῳ ἐπαναστάσεις ἐμελέτων κατ' ἀλλήλων οἱ ἱερεῖς. ἀρχὴν δὲ τὸ κακὸν ἐκ τῆς αἰγυπτίων ἐλάμβανε, δι' αἰτίαν τοιαύτην.

Ην μικρὸν ἔμπροσθεν ζήτησις κινηθεῖσα, πότερον ὁ θεὸς σῶμα ἐστὶ, καὶ ἀνθρώπου ἔχει σχῆμα, ἢ ἀσώματός ἐστιν, καὶ ἀπήλλακται ἀνθρωπίνου τὲ παντὸς, ἁπλῶς εἰπεῖν, σωματικοῦ σχήματος. ἐκ δὲ τούτου τοῦ ζητήματος ἔριδες καὶ φιλονεικίαι παρὰ τοῖς πολλοῖς ἐγίνοντο, τῶν μὲν τούτων προστιθεμένων τῷ λόγῳ· τῶν δὲ τῷ ἑτέρῳ συνηγορούντων. καὶ μάλιστα μὲν πολλοὶ τῶν ἁπλοϊκῶν ἀσκητῶν σωματικὸν καὶ ἀνθρωπόμορφον τὸν θεὸν εἶναι ἐβούλοντο. πλεῖστοι δὲ τούτων καταγινώσκοντες, ἀσώματον εἶναι τὸν θεὸν ἔλεγον, καὶ πάσης ἐκτὸς εἶναι σωματικῆς μορφῆς ἀπεφήναντο· οἷς καὶ θεόφιλος συνεφώνει, ὁ τῆς ἀλεξανδρείας ἐπίσκοπος, ὡς καὶ ἐπὶ τῆς ἐκκλησίας ἐπὶ τοῦ λαοῦ καταδραμεῖν μὲν τῶν ἀνθρωπό-

μορφον λεγόντων τὸ θεῖον, ἀσώματον δὲ αὐτὸν δογματίσαι. ταῦτα μαθόντες οἱ αἰγυπτίων ἀσκηταὶ, καταλιπόντες τὰ μοναστηρία, ἐπὶ τὴν ἀλεξάνδρειαν ἔρχονται. καὶ κατεστασίαζον τοῦ θεοφίλου, κρίναντες ὡς ἀσεβοῦντα, καὶ ἀνεῖλεν βουλόμενοι. τοῦτο γνοὺς ὁ θεόφιλος, εἰς ἀγῶνα καθίσταται, καὶ ἐπενόει τέχνην, ὅπως ἂν διαφύγῃ τὴν ἀπειλούμενον θάνατον. καὶ ὀφθεὶς αὐτοῖς, κολακείᾳ μετῆλθε τοὺς ἄνδρας, οὕτως εἰπὼν πρὸς αὐτούς. οὕτως ὑμᾶς εἶδον, ὡς θεοῦ πρόσωπον. τοῦτο λεχθὲν ἐχαύνωσε τοὺς μοναχοὺς τῆς ὁρμῆς. ἀλλ' εἰ ἀληθεύεις, ἔφασαν, ὅτι τὸ τοῦ θεοῦ πρόσωπον ἐστὶν ὡς καὶ τὸ ἡμέτερον, ἀναθεμάτισον τὰ ὠριγένους βιβλία. ἐξ αὐτῶν γάρ τινες διαλεγόμενοι, ἐναντιοῦνται τῇ δόξῃ ἡμῶν. εἰ δὲ μὴ τοῦτο ποιήσας, τὰ τῶν ἀσεβούντων, καὶ θεομάχων ἐκδέχου παρ' ἡμῶν. ἀλλ' ἐγὼ, ἔφη θεόφιλος, ποιήσω τὰ δεδογμένα ὑμῖν, καὶ μὴ χαλεπαίνετε πρὸς μέ. καὶ γὰρ ἐγὼ ἀπεχθῶς ἔχω πρὸς τὰ ὠριγένους βιβλία, καὶ μέμφομαι τοὺς δεχομένους αὐτά. οὕτω μὲν οὖν τότε τοὺς μοναχοὺς ἀποκρουσάμενος, ἀπεπέμψατο. καὶ ἴσως δ' ἂν ἡ περὶ τούτου ζήτησις ἄχρι τούτου προεχθοῦσα ἐπαύσατο, εἰ μὴ ἐπισυνήφθη τούτῳ ἕτερον πρᾶγμα, τοιόνδε τι. τῶν ἐν αἰγύπτῳ ἀσκητηρίων προεστήκεισαν τέσσαρες ἄνδρες εὐλαβεῖς, διόσκορος, ἀμμώνιος, εὐσέβιος, εὐθύμιος. οὗτοι αὐτάδελφοι μὲν ἦσαν· οἱ μακροὶ δὲ, ἐκ τοῦ σώματος ὠνομάζοντο. ἦσαν δὲ καὶ λόγῳ καὶ βίῳ ἐκπρέποντες. καὶ διατοῦτο πολὺς ἦν ἐν τῇ ἀλεξανδρείᾳ περὶ αὐτῶν λόγος. θεόφιλός τε ὁ ἀλεξανδρείας ἐπίσκοπος πάνυ ἠγάπα, καὶ ἐτίμα τοὺς ἄνδρας. διὸ καὶ ἕνα μὲν αὐτῶν τὴν διόσκορον, ἐπίσκοπον καθιστᾷ ἑρμουπόλεως, βίᾳ ἀγκύσας. δύο δὲ ἐξ αὐτῶν παρεκάλεσε συνεῖναι αὐτῷ, καὶ μόλις μὲν ἔπεισεν. ὡς ἐπίσκοπος δὲ ὅμως, καὶ προσηνάγκασεν. οἱ δὲ τῇ ἀνάγκῃ μὲν ἔμενον, καλῶς τῇ οἰκονομίᾳ προσέχοντες. ἠνιῶντο δὲ ὅμως, ὅτι μὴ ἐφιλοσόφουν, ὡς ἤθελον τῇ ἀσκήσει προσκείμενοι. ἐπεὶ δὲ προϊόντος τοῦ χρόνου, καὶ προσβλάπτεσθαι τὴν ψυχὴν ἐνόμιζον, ὁρῶντες τὴν ἐπίσκοπον χρηματιστικόν τε μετερχόμενον βίον, καὶ πολλὴν σπουδὴν περὶ χρημάτων κτῆσιν τιθέμενον, καὶ διὰ ταῦτα, τὸ δὴ λεγόμενον, πάντα λίθον κινοῦντα, παρῃτοῦντό τε συνεῖναι αὐτῷ, τὴν ἐρημίαν ἀγαπᾶν εἰπόντες, καὶ ταύτην προτιμᾶν τῆς ἐν ἄστει διαγωγῆς. ὁ δὲ ἕως μὲν μὴ ἐγίνωσκε τὴν ἀληθῆ πρόφασιν, παρεκάλει προσμένειν. ἐπεὶ δὲ ἔγνω καταγινωσκόμενος ὑπ' αὐτῶν, ὀργῆς ὑποπίμπλαται, καὶ πᾶν αὐτοῖς κακὸν ἠπείλει ποιεῖν. τῶν δὲ μικρὰ φροντισάντων τῆς ἀπειλῆς, καὶ εἰς τὴν ἔρημον χωρησάντων, θερμός τις, ὡς ἔοικεν, ὁ θεόφιλος ὢν, οὐ μικρὰν ἐποιεῖτο τὴν κίνησιν κατ' αὐτῶν. ἀλλὰ σκευωρεῖσθαι πάσαις μηχαναῖς τοὺς ἄνδρας ἐσπούδαζε. ἐμίσει δὲ εὐθὺς καὶ τὴν αὐτῶν ἀδελφὸν διόσκορον, τὸν τῆς ἑρμουπόλεως ἐπίσκοπον. ἐγύπει δὲ αὐτὸν ἱκανῶς, τὸ προσκεῖσθαι αὐτῷ τοὺς ἀσκητὰς, καὶ περὶ αὐτὸν σέβας ἔχειν πολύ. ἐγίνωσκέ τε ὡς οὐδενὶ τρόπῳ βλάψει τοὺς ἄνδρας, εἰ μὴ τοὺς μοναχοὺς ἐκπολεμώσει αὐτοῖς. μεθόδῳ οὖν χρῆται τοιαύτῃ, εὖ ἠπίστατο τοὺς ἄνδρας πολλάκις ἅμα αὐτῷ περὶ θεοῦ λόγους κεκινηκότας, ὡς εἴη ὁ θεὸς ἀσώματος, καὶ οὐδαμῶς ἀνθρωπόμορφος· ἀκολουθεῖ γὰρ ἐξ ἀνάγκης ᾧ ἀνθρωπομόρφῳ, τὸ ἀνθρωποπαθές. καὶ τοῦτο γεγύμνασται παρά τε τῶν παλαιοτέρων, καὶ μάλιστα παρὰ ὠριγένους. οὕτως ἔχων καὶ φρονῶν περὶ θεοῦ ὁ θεόφιλος, διὰ τὸ ἀμύνασθαι τοὺς ἐχθροὺς, ἀντιστρέφων τὰ καλῶς αὐτοῖς δεδογμένα, οὐκ ὤκνησεν· ἀλλὰ συναρπάζει τοὺς πλείστους τῶν μοναχῶν, ἀνθρώ-

πους ἀ-

ποις ἀχεραίους μ̄, ἰδιώτας δὲ ϕ̄ λόγω· τοὺς πολλοὺς δὲ καὶ ἀγραμμάτους ὄντας. καὶ ϕ̄ ἀμφιέμπτ) τοῖς ἐν τῇ ἐρήμῳ ἀσκηταῖς, μὴ δεῖν πείθεσθαι ϕ̄ σκόρῳ, μή τ̄ τοῖς ἀδελφοῖς αὐτοῦ λέγουσιν ἀσώματον τὸν θεόν. ὁ γὰρ θεὸς, φησὶν, χ̄ τὰς θείας γραφὰς, καὶ ὀφθαλμοὺς ἔχει, καὶ ὦτα, ⸌ χεῖρας, καὶ πόδας, καθὰ ⸍ οἱ ἀνθρωποι. οἱ δὲ περὶ ϕ̄ σκορον ἀειλογίᾳ ἀκολουθοῦντες, βλάσφημον δόγμα εἰσάγουσιν, ὡς ἄρα ὁ θεὸς οὔτε ὀφθαλμοὺς, οὔτε ὦτα, οὔτε πόδας, οὔτε χεῖρας ἔχει. τούτῳ τῷ σοφίσματι σὺν αρπάζουσι τοὺς πλείστους τῶν μοναχῶν, ⸌ γὰρ ϕ̄ σκορος τάσις ἐν αὐτοῖς. ὅσοι μὲν οὖν γεγυμνασμένον εἶχον τ̄ νοῦν, οὐσὺν ηρπάγησαν τοῦ τὸ σοφίσματος. ἀλλά καὶ τοῖς περὶ ϕ̄ σκορον, καὶ ἀειλογίαν ἐπείθοντο. οἱ δὲ ἁπλούστεροι πλείους τε ὄντες, καὶ ζῆλον ἔχοντες θερμὸν χ̄ τῶν ἀδελφῶν, διὰ τοῦτο ἐχώρουν. ὧν οὖν διαίρεσις ἐν αὐτοῖς, καὶ ἀλλήλους ὡς ἀσεβοῦντας διῴκουν. καὶ οἱ μὲν θεοφίλῳ προσέχοντες, ἀειλογιαστὰς καὶ ἀσεβεῖς ἐκάλουν τοὺς ἀδελφούς. οἱ δὲ ἕτεροι, διὰ θεόμορφισμοὺς τοὺς τοῦ θεοφίλου διαπειθέντας ὠνόμαζον. ἐκ τούτου πολεμικὴ γὰρ οὐ μικρὰ, καὶ ὧν μελαξὺ τῶν μοναχῶν πόλεμος ἀπονενδος. θεόφιλος δὲ ὡς ἔγνω προβάντα τ̄ σκοπὸν, ἅμα πληθὶ καταλαβὼν τ̄ νιτρείαν ἔνθα εἰσὶ τὰ ἀσκητήρια, ὀξοπλίζει τοὺς μοναχοὺς, καθά τε ϕ̄ σκορον, καὶ τῶν αὐτοῦ ἀδελφῶν. οἱ δὲ κινδυνώδεσθαι, μόλις διέφυγον. ταῦτα χ̄ τῷ ἀγυπτίου χρόνῳ, ὁ κωνσανλίνου πόλεως ἐπίσκοπος ἰωάννης, τέως ἡγούμ· τ̄ διδασκαλίας τε ὢν ϕ̄, ⸌ ἀβαΐτης ὑπὸ ταύτας ὢν. ἐτύχησε δὲ προῆτος καὶ τὰς περὶ νυκτερινοὺς ὠχάς, ὧδε αἰτίας τοιάσδε.

Οἱ ἀρριανίζοντες, ὡς πρ ἔφημεν, ἔξω τ̄ πόλεως τὰς συναγωγὰς ἐποιοῦντο. ἐνί καὶ οὗ ἑκάστης ἑβδομάδος ἑορτὰς καλεκάμβαιον, φημὶ δὴ τότε σάββατον, καὶ ἡ κυριακὴ, ἐν αἷς αἱ συνάξεις χ̄ τὰς ἐκκλησίας εἰώθασι γίνεσθαι, αὐλοὶ ἐντὸς ὢν τῆς πόλεως πυλῶν περὶ τὰς τοὰς ἀθροιζόμενοι, καὶ ᾠδὰς ἀνδροφώνους πρὸς τὸν ἀρριανὸν δόξαν συνιστάντες, ἤδον. καὶ τοῦτο ἐποίουν χ̄ πλέον μέρος τ̄ νυκτός. ὑπὸ δὲ ὄρθρον, τὰ τοιαῦτα ἀνδροφωνα λέγοντες, ἀπὸ μέσης τ̄ πόλεως ἐξήεσαν πρὸς πυλῶν, καὶ τοὺς τόπους ἔνθα συνῆγον, καλεκάμβαιον. ὅπερ δὲ ἑρεθισμοὺς χ̄ τῶν τὸ ὁμοούσιον φρονούντων λέγοντες οὐκ ἐπαύοντο, πολλάκις γὰρ καὶ τοιαύτην ᾠδὴν ἔλεγον, ποῦ εἰσὶν οἱ λέγοντες τὰ τεῖα μίαν δύναμιν, ὅτε δὴ καὶ ἰωάννης ἀλαβανδρέως, μήτις τῶν ἁπλουστέρων ὑπὸ τῶν τοιούτων ᾠδῶν ἀφύλακτος ἦ τῆς ἐκκλησίας, ἀνέπεισαν αὐλοῖς τοῖς τοῦ ἰδίου λαοῦ, ὅπως μὴ καὶ αὐτοὶ τ̄ νυκτερινὰς ὑμνῳδίας ἀρχαΐζοντες, ἀμαυρώσωσι μᾶλλον τὰ ἐκείνων. περὶ τούτου σπουδάζων. βεβαίους δὲ τοὺς οἰκείους ποιῆσαι τῶν ἑαυτῶν πίστιν ἐργάσωνται. ἀλλ' ὅμως σκοπὸς ἰωάννου ἐδόκει εἶναι χρηστός· σπουδὰ ταραχὴ δὲ καὶ κινδύνοις ὁ τέλος ἐδέξατο. ὡς γὰρ λαμπρότεροι οἱ τοῦ ὁμοουσίου ὕμνοι, ἐν τ̄ νυκτερινὰς ὑμνολογίας ἐδείκνυντο. ὑπενόουν γὰρ πρὸς αὐγὴ σαφεστέρᾳ φερούσῃ φάτα ἐκ τῶν ἐκείνων λαμπάδων τῆς βασιλίδος ἀνδρείας πορευομένους τοὺς εἰς αὐτὰ δαπανῶν. πλῆθος ὄντες οἱ ἀρριανίζοντες, καὶ ζηλοτυπίᾳ ληφθέντες, ἀμύνεσθαί τε, καὶ συμπλοκὰς ἐπεχείρουν ποιεῖν. ἐπὶ γὰρ ἐκ τῆς περιεχούσης δυνάμεως, ἐν θερμοί τε πρὸς μάχην ἦσαν, καὶ καλεφρόνουν αὐτῶν. μὴ μὴν ἠσθάνοντο οὗ ἐν μιᾷ τῶν νυκτῶν συγκρούσει. καὶ βάλλεται μὲ λίθῳ χ̄ μετώπου κρίσων ὁ τ̄ βασιλίδος ἀνὸς ὄχος, συγκροτῶν τότε τοὺς ὑμνῳ-

δοὺς. ἀπόλλυνται δὲ καὶ τινες τοῦ λαοῦ, ἐξ ἀμφοτέρων τῶν μερῶν. ὑφ' οἷς κινηθεὶς ὁ βασιλεὺς, διεκώλυσε τοὺς ἀρειανοὺς τὰς ὑμνολογίας ἐν ᾧ δημοσίῳ ποιεῖν. καὶ τὰ μὲν λεγόμενα, τοιαῦτα ἦν. λεκτέον δὲ καὶ ὅθεν τὴν ἀρχὴν ἔλαβεν ἡ κατὰ τοὺς ἀντιφώνους ὕμνους ἐν τῇ ἐκκλησίᾳ συνήθεια. ἰγνάτιος ἀντιοχείας τῆς συρίας, τρίτος ἀπὸ τοῦ ἀποστόλου πέτρου ἐπίσκοπος, ὃς καὶ τοῖς ἀποστόλοις αὐτοῖς συνδιέτριψεν, ὀπτασίαν εἶδεν ἀγγέλων, διὰ τῶν ἀντιφώνων ὕμνων, τὴν ἁγίαν τριάδα ὑμνούντων. καὶ τὸν τρόπον τοῦ ὁράματος, τῇ ἐν ἀντιοχείᾳ ἐκκλησίᾳ παρέδωκεν. ὅθεν καὶ ἐν πάσαις τῶν ἐκκλησίαις αὕτη ἡ παράδοσις ἐδόθη. οὗτος μὲν οὖν ὁ περὶ τῶν ἀντιφώνων ὕμνων λόγος ἐστίν.

σαφῶς αὐτῷ δεῖ χθεῖσαν τοῦ τῶν ὅλων θεοῦ. ἐδόκει γὰρ ὁρᾷν τὸν θεῖον μεγέτιον, τῆς ἀντιοχέων ἐκκλησίας τὸν πρόεδρον, χλανίδα τε αὐτῷ βασιλικὴν περιθέντα, καὶ παραπλησίῳ στεφάνῳ κοσμοῦντα τὴν κεφαλήν. ταῦτα νύκτωρ ἰδὼν, ἐμήνυσεν ἕωθεν τῶν συνήθων τινί. ὁ δὲ σαφὲς εἶναι τὸ ἐνύπνιον ἔφη, καὶ μηδὲν αἰνιγματῶδες μηδὲ ἀμφίβολον ἔχειν. ὀλίγων δὲ ἄγαν διελθουσῶν ἡμερῶν, ἐπανῆλθον μετὰ τῶν πεπραγμένων οἱ ἔφοροι, καὶ κατηκοντίσθαι τὰς πολλὰς ὧν βαρβάρων ἔφησαν μυριάδας. πεισθεὶς δὲ ὁ βασιλεὺς, ὡς ἄριστα ψηφισάμενος αὐτὸν στρατηγὸν, βασιλέα κεχειροτόνηκεν, καὶ τῆς βαλέντος μοίρας τὰ σκῆπτρα παρέδωκε. καὶ αὐτὸς μὲν ἐπὶ τὴν ἰταλίαν ἐξώρμησεν. ἐκεῖνον δὲ εἰς τὴν δοθεῖσαν ἡγεμονίαν παρέπεμψεν. εὐθὺς δὴ οὖν τὴν βασιλείαν παραλαβὼν, τῆς τῶν ἐκκλησιῶν πρὸ τῶν ἄλλων συμφωνίας ἐπεμελήθη, καὶ τοὺς τῆς οἰκείας ἡγεμονίας ἐπισκόπους εἰς τὴν κωνσταντινούπολιν δραμεῖν παρηγγύησε. αὕτη γὰρ μόνη τῆς ἀρειανικῆς ἐνεπέπλησο λώβης. ἡ γὰρ ἑσπέρα τῆς νόσου ταύτης ἐλευθέρα διέμεινε. κωνσταντῖνος μὲν γὰρ, ὁ τῶν κωνσταντίνου παίδων πρεσβύτατος, καὶ κώνστας ὁ νεώτατος, τὴν πατρῴαν πίστιν ἀκήρατον διετήρησαν. καὶ αὖ πάλιν, βαλεντινιανὸς ὁ τῆς ἑσπέρας βασιλεὺς ἀκραιφνῆ διεφύλαξε τὴν εὐσέβειαν.

ζ Τὸ δὲ τμῆμα τῶν ἑῴων πολλαχόθεν τὴν λώβην ταύτην ἐδέξατο. ἄρειος τε γὰρ ἀλεξανδρείας τῆς αἰγυπτίας πρεσβύτερος ὢν, ἐκεῖ τὴν βλασφημίαν ἐγένησε, καὶ εὐσέβιος καὶ παντόφιλος, καὶ ἀέτιος οἱ παλαιστῖνοι, καὶ παυλῖνος καὶ γρηγόριος οἱ φοίνικες, καὶ λαοδικείας θεόδοτος, καὶ ὁ μετὰ τοῦτον γεώργιος, καὶ μετὰ τούτους ἀθανάσιός τε καὶ νάρκισσος, οἱ κίλικες τὰ κακῶς καταβληθέντα ἐξέτρεψαν σπέρματα, εὐσέβιος τε καὶ θεόγνιος οἱ βιθυνοὶ, καὶ μινόφαντος ὁ ἐφέσιος, καὶ θεόδωρος ὁ περίνθιος, καὶ μάρις ὁ χαλκηδόνιος, καὶ ἕτεροι τινὲς ἀπὸ τῆς θρᾴκης, ἀπὸ κακίας μόνης ἐπίσημοι, μέχρι πολλοῦ διετέλεσαν τὴν τῶν ζιζανίων σπορὰν ἀρδοντές τε καὶ θάλποντες. τοῖς δὲ κακοῖς συνέπραξεν γεωργοῖς, κωνσταντίου τε ἡ εὐκολία, καὶ ἡ βαλέντος μοχθηρία. τούτου δὴ ἕνεκα μόνης τῆς οἰκείας βασιλείας τοὺς ἐπισκόπους εἰς τὴν κωνσταντινούπολιν συναθροισθῆναι προσέταξεν. ἐπεὶ δὲ ἀφίκοντο, πεντήκοντα δὲ ἦσαν καὶ ἑκατὸν, παρηγγύησε μηδένα αὐτῷ μηνύσαι ὅστις ὁ μέγας μεγέτιος εἴη. ἐβούλετο γὰρ ἐκ τῆς τοῦ ἐνυπνίου μνήμης μηνυθῆναι τὸν ἄνδρα. καὶ ἐπεὶ εἰς τὸν βασίλειον εἰσελήλυθεν οἶκον ἅπας ἐκεῖνος τῶν ἐπισκόπων ὁ ὅμιλος, τοὺς ἄλλους καταλιπὼν ἅπαντας τῷ μεγάλῳ μεγετίῳ προσέδραμεν, καὶ οἷόν τις παῖς φιλοπάτωρ, διὰ χρόνου μακροῦ θέας πατρικῆς ἀπολαύσας, περιεπτύσσετό τε καὶ κατεφίλει, καὶ ὀφθαλμοὺς καὶ χείλη καὶ στέρνα, καὶ κεφαλὴν, καὶ τὴν στεφανώσασαν δεξιάν. ἐδήλωσε δὲ καὶ τὴν ὄψιν ἣν εἶδε. φιλοφρονησάμενος δὲ καὶ τοὺς ἄλλους ἅπαντας βουλεύσασθαι περὶ τῶν προκειμένων, ὡς πατέρας ἠξίωσε.

η Κατ' ἐκεῖνον δὲ τὸν χρόνον, ὁ τὴν ναζιανζὸν τὰ τελευταῖα ποιμένας, ἐν κωνσταντινουπόλει διέτριβε, τῆς ἀρειανικῆς ἀντιταττόμενος βλασφημίαις, καὶ τόν τε θεῖον λαὸν τῆς εὐαγγελικῆς ἄρδων διδασκαλίαις, τούς τε τῆς ποίμνης ἔξω πλανωμένους ἀγρεύων καὶ τῆς ὀλεθρίου πόας ἐλευθερῶν, οὕτω τὴν ποίμνην ἐκείνην ἐξ ὀλίγου μεγάλην ἀπέφηνεν. τοῦτον ἰδὼν ὁ θεῖος μεγέτιος καὶ τῶν ἐν κανόνα γεγραφότων ἐν σκοπὸν ἐπιστάμενος, τὰς γὰρ τῆς φιλαρχίας ἀφορμὰς περικόπτοντες,

πολίες, ἐκωλυσάν τὴν μελάθεσιν, ἐβεβαίωσε τῷ ἁγίῳ χρηματίῳ τῆς κωνσταντινουπόλεως προεδρείαν. ὀλίγου δὲ διῆλθόντος χρόνου, ὁ μὲν θεῖος μυστήριος εἰς τὸν οὐρανὸν μετέστη ζωήν, ἐπὶ πολλῶν τῶν καλῶν μετὰ πολλῶν τῶν ἀγώνων μετὰ τῶν ἀποστολίοις τελειωθεὶς ἀφημίας. ὑμόθεος δὲ ὁ τῆς ἀλεξανδρέων ἐπίσκοπος, ὃς πέρσην διεδέξατο τὸν τῆς ἀθανασίου προεδρίας κληρονόμον γεγονότα, αὖθις τοῦ θαυμασίου χρηματίου, μάχιμον ἵνα κεχλοηθῇ κυνικὸν, αὖθις αὖτε τὰς κυνικὰς ἀποκείρας τρίχας. καὶ τῆς ἀπολιναρίου δὲ τερθρείας ἀνάπλεως ἦν. ἀλλ' οὐκ ἠνέσχετο τοῦ γεγυμνασμένου τὴν ἀποστασίαν οἱ τότε καθεσταμένοι. ἦσαν δὲ ἄνδρες ἀξιάγαστοι, καὶ ζήλου θείου καὶ σοφίας ἀνάπλεοι, ἡγάδιος μὲν ὁ τῆς τοῦ μεγάλου βασιλείου προεδρείας διάδοχος, χρηματίσας δὲ καὶ πέρσης οἰκείοις αὐτοῦ βασιλείῳ πατέρας ἀνεκήρυξε. ἀμφιλόχιος δὲ λυκαόνων ἦρξεν, καὶ πισίδων ὅπλιμος, καὶ κιλίκων διδυμος. πρίσκος δὲ καὶ πελάγιος ὁ λαοδικείας, καὶ ἀλύπιος ὁ ἐδέσσης, καὶ ἀκάκιος, καὶ ἰσίδωρος ὁ ἡμέτερος, καὶ κύριλλος ὁ ἱεροσολύμων, καὶ γηθάσιος ὁ καισαρείας τῆς παλαιστίνης, λόγῳ καὶ βίῳ κοσμοῦντες μόνος, καὶ ἕτεροι πλείστοι τῆς ἀρετῆς ἀθληταί. τότε δὴ οὖν οὗτοι πάντες, τῶν ἀγυρτῶν σοφὰς αὐτοῖς ἀποκρινάμενοι καὶ τῷ μεγάλῳ χρηματίῳ τὰς πανηγύρεις ἐπείγοντα τὰς θείας. ὁ δὲ θεῖος πρεσβύτης χρηματίσας, καὶ συμφωνίας σπουδασθείσης, τοῖς μὲν ἀγῶσι θεσμοῖς ὁμόνοιαν μὲν βραβεῦσαι, τῆς ἑνὸς ἀνδρὸς ἀδικίας. ἐγώ τε γὰρ, ἔφη, τῶν πλειόνων φροντίδων ἀπαλλαγεὶς, τὸ ἐμοὶ φίλτον ἀποκτήσομαι ἡσυχίαν, καὶ ὑμεῖς τοῖς τε ποθοῦσιν εἰρηνεύειν μετὰ τὸν μακρὸν σκότον καὶ χαλεπὸν ἀποκτήσασθε πόλεμον. τῶν γὰρ λίαν ἀνοήτων ἀνδρῶν τὸν πολεμικὸν ἀπαλλαγήσεσθε βρόμον, ἀγῶσι βραβεῦσι καὶ τοῖς οἰκείαις ἀνδρίσασθαι ἰσχύσι. θήσονται γὰρ οὕτω τοῖς δυσμενέσιν ἐσόμενα. ἄνδρα δὴ οὖν ζητήσομεν ἀξιέπαινον, καὶ νοῦν ἔχοντα, τῶν φροντίδων τὸ πλῆθος καὶ δέξασθαι καὶ δυνάμενον διανέμειν, ἀρχιερέα προβαλέσθαι. ταύτας οἱ ἄριστοι ποιμένες τοῦ σκότους πειθόμενοι, νεκτάριον ἀπατείδιον ἄνδρα, καὶ πρεσβείᾳ γήρους κοσμούμενον, καὶ τοῖς τῆς ἀρετῆς εἴδεσι λαμπρυνόμενον, ἐπίσκοπον τῆς μείζονος σκεύης ἐχειροτόνησαν πόλεως, ὃν δὲ μάχιμον, ὡς τῆς ἀπολιναρίου φρενοβλαβείας μεθηγητὰ, τῆς ἀρχιερατικῆς ἀξίας γυμνώσαντες, ἀπεκήρυξαν. καὶ καμόνας μὲν τοῦ τῆς ἐκκλησιαστικῆς χαλάσαντες διακοσμίας, καὶ τὸ σκληρὸν πίστιν συνισχύσαι βεβαίαν μᾶλλον διορθώσαντες, εἰς τὰς οἰκείας ἐπανῆλθον πατρίδας. τὸ δὲ ἐπιγενόμενον θέρος, εἰς σκέπην αὖθις τὴν πόλιν, οἱ πλεῖστοι τούτων ἐβαδίζομεν, ἐκκλησιαστικὴ γὰρ αὐτοῖς πάλιν ξυνεκάλεσεν χρεία, συνοδικὴν ἐπισκολὴν τῶν τῆς ἑσπέρας ἐπισκόπων ἐδέξασθαι, εἰς τὴν ῥώμην αὖθις ἀφικέσθαι τοὺς πρέσβεις, ὡς συνόδου μελίσης αὖθ' ἡ συγκροτουμένης. ἀλλὰ τὴν μὲν ἀποδημίαν ἐπρήσσομεν, ὡς σφόδρα ἔχουσαν κέρδος. ἐπέσχεν δὲ ὁ τε κλύδων τὸν κατὰ τῶν ἐκκλησιῶν ἐπαναστάντα σημαίνοντες, καὶ τὴν μεγαλομεμψίαν αὐλῶν ἀμβλύναν ἀμηχάνοντες. ἐν κεφαλαίῳ γὰρ καὶ τὸ ἀποσολικὸν τοῖς γράμμασιν ἐνέθηκαν φρόνημα. σαφέστερον δὲ τὴν τῶν μεγαφώτων ἀνδρείαν τε καὶ σοφίαν αὐτὰ δηλώσει τὰ γράμματα.

Κυρίοις ὑμιλάκοις, καὶ ὑλαβεστάτοις ἀδελφοῖς καὶ συλλειτουργοῖς, δαμάσῳ, ἀμβροσίῳ, βεκτίωνι, οὐδηκειδιῷ, ἀχολίῳ, ἀνεμίῳ, βασιλείῳ, καὶ

τοῖς λοιποῖς ἁγίοις ἐπισκόποις τοῖς συνεκηλυθόσιν ἐν τῇ μεγάλῃ πόλει ῥώμῃ, ἡ ἁγία σύνοδος τῶν ὀρθοδόξων ἐπισκόπων, ὧν συνεκηλυθότων ἐν τῇ μεγάλῃ πόλει κωνσταντινοπόλει ἐν κυρίῳ χαίρειν.

θ̄ Τὸ μὲν ὡς ἀγνοοῦσαν τὴν ὑμετέραν εὐλάβειαν διδάσκειν, καὶ διηγεῖσθαι τῶν παθῶν τὸ πλῆθος, τῶν ἐπαχθέντων ἡμῖν παρὰ τῆς ὧν ἀρξομένων δυναστείας, περιττὸν ἴσως. οὔτε γὰρ οὕτω πρέπεργον τὰ καθ' ἡμᾶς κρίνειν τὴν ὑμετέραν ἡγούμεθα θεοσέβειαν, ὡς δεῖσθαι τοῦ μαθεῖν ταῦτα, οἷς ἐχρῆν συνεκγεῖν. οὔτε τοιοῦτοι τινὲς οἱ περιχόντες ἡμᾶς χειμῶνες, ὡς λανθάνειν ἀπὸ σμικρότητος. ὅτε χρόνος τῶν διωγμῶν νεαρὸς, ἔναυλον ἔτι φυλάττων τὴν μνήμην, οὐ τοῖς ποπονθόσι μόνον, ἀλλὰ καὶ τοῖς δι' ἀγάπην τὰ τῶν πεπονθότων οἰκειουμένοις. χθὲς γὰρ ὡς εἰπεῖν ἔτι καὶ πρώην οἱ μὲν τῶν τῆς ἐξορίας λυθέντες δεσμῶν, εἰς τὰς ἑαυτῶν ἐκκλησίας διὰ μυρίων ἐπανήκασιν θλίψεων. τῶν δὲ καὶ τελειωθέντων ἐν τῇ ἐξορίαις, ἐπανεκομίσθη τὰ λείψανα. τινὲς δὲ καὶ μετὰ τὴν τῆς ἐξορίας ἐπάνοδον, ἔτι βράσσοντι ᾧ τῶν αἱρετικῶν περιπεσόντες θυμῷ, πικρότερα ὧν ἐπὶ τῆς ἀλλοτρίας, ἐπὶ τῆς οἰκείας ὑπέμειναν, λίθοις παρ' αὐτῶν τελειωθέντες κατὰ τὸν μακάριον στέφανον. ἄλλοι διὰ φόροις καταξανθέντες αἰκίαις, ἔτι τὰ στίγματα τῶν χριστοῦ καὶ τοὺς μώλωπας ἐν τῷ σώματι περιφέρουσι. χρημάτων δὲ ζημίας καὶ προτιμήσεις πόλεων, καὶ τὰς τῶν καθ' ἕνα δημοσιεύσεις καὶ συσκευὰς, καὶ ὕβρεις, καὶ δεσμωτήρια, τίς ἂν ἐξαριθμήσασθαι δύναιτο; πᾶσαι γὰρ ὄντως ἐφ' ἡμᾶς αἱ θλίψεις ἐπληθύνθησαν ὑπὲρ ἀριθμὸν, ἴσως μὲν, ἐπεὶ δίκας ἁμαρτημάτων ἐτίναμεν. ἴσως δὲ καὶ τοῦ φιλανθρώπου θεοῦ, διὰ τῶν πλήθους τῶν παθημάτων ἡμᾶς γυμνάζοντος. τούτων μὲν οὖν τῷ θεῷ χάρις, ὃς καὶ διὰ τοσούτων θλίψεων τοὺς ἑαυτοῦ δούλους ἐξεπαίδευσε, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν αὐτοῦ, πάλιν ἐξήγαγεν ἡμᾶς εἰς ἀναψυχήν. ἡμῖν δὲ μακρᾶς μὲν ἔδει σχολῆς, καὶ πολλοῦ χρόνου καὶ πόνου πρὸς τὴν τῶν ἐκκλησιῶν ἐπανόρθωσιν, ἵν' ὥσπερ ἐκ μακρᾶς ἀρρωστίας, τῇ κατὰ μικρὸν ἐπιμελείαις τὸ σῶμα τῆς ἐκκλησίας ἐκνοσηλεύοντες, πρὸς τὴν ἀρχαίαν τῆς εὐσεβείας ὑγίειαν ἐπαναγάγωμεν. καὶ γὰρ εἰ τὰ μάλιστα δοκοῦμεν τῆς τῶν διωγμῶν ἀπηλλάχθαι σφοδρότητος, καὶ τὰς ἐκκλησίας χρονίως παρὰ τῶν αἱρετικῶν καταχεθείσας ἀρτίως ἀνακομίζεσθαι, πλὴν ἀλλὰ βαρεῖς ἡμῖν λύκοι, καὶ μετὰ τὸ τῆς μάνδρας ἐξωσθῆναι κατὰ τὰς νάπας τὰ ποίμνια διαρπάζοντες, ἀντισυνάξεις τολμῶντες, δήμων κινοῦντες ἐπαναστάσεις, ὀκνοῦντες οὐδὲν εἰς τὴν τῶν ἐκκλησιῶν βλάβην. ἢν μὲν οὖν ὅπερ εἰρήκαμεν ἀναγκαῖον, πλείονα ἡμᾶς προσασχολήθηναι χρόνον. ἐπεὶ μέντοι τὴν ἀδελφικὴν περὶ ἡμᾶς ἀγάπην ἐπιδεικνύμενοι, σύνοδον ἐπὶ τῆς ῥώμης θεοῦ βουλήσει συγκροτοῦντες, καὶ ἡμᾶς ὡς οἰκεῖα μέλη προσεκαλέσασθε, διὰ τῶν τοῦ θεοφιλεστάτου βασιλέως γραμμάτων, ἵν' ἐπεὶ τότε, τὰς θλίψεις μόνοι κατεδικάσθημεν, νῦν ἐν τῇ τῶν αὐτοκρατόρων περὶ τὴν εὐσέβειαν συμφωνίᾳ, μὴ χωρὶς ἡμῶν βασιλεύσητε, ἀλλὰ καὶ ἡμεῖς ὑμῖν κατὰ τὴν ἀποστολικὴν φωνὴν συμβασιλεύσωμεν, εὐχὴ μὲν ἦν ἡμῖν εἰ δυνατὸν, ἅπασιν ἀθρόως καταλιποῦσι τὰς ἐκκλησίας, τῷ πόθῳ ἢ τῇ χρείᾳ χαρίσασθαι. τίς γὰρ ἡμῖν δώσει πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθησόμεθα, καὶ πρὸς ὑμᾶς καταπαύσομεν; ἐπεὶ δὲ τοῦτο παντελῶς ἐγύμνου τὰς ἐκκλησίας, ἄρτι τῆς ἀνανεώσεως ἀρχομένας, καὶ τὸ πρᾶγμα παντάπασιν ἦν τοῖς πολλοῖς ἀδύνατον, σύνδε-

δραμή-

δραμήκειμεν γὰρ εἰς τὴν κωνσταντινούπολιν, ἐκ τῶν πέρυσι γραμμῶν τῶν παρὰ τῆς ὑμετέρας τιμιότητος μετὰ τὴν ἐν ἀκυλήϊᾳ συνόδον, πρὸς τὸν θεοφιλέστατον βασιλέα θεοδόσιον ἐπισταλθέντων, πρὸς μόνην ταύτην τὴν ἀποδημίαν τὴν μέχρι κωνσταντινουπόλεως παρεσκευασμένοι, καὶ περὶ ταύτης μόνης τῆς συνόδου τὴν ἐν τῇ ἐπαρχίαις μεινάντων ἐπισκόπων συγκατάθεσιν ἐπαγόμενοι. μείζονος δὲ ἀποδημίας μήτε προσδοκήσαντες χρείαν, μήτε προακούσαντες ὅλως, πρὶν εἰς κωνσταντινούπολιν συνεκθεῖν. πρὸς δὲ τούτοις καὶ τῆς προθεσμίας διὰ στενότητα, μήτε πρὸς παρασκευὴν μακροτέρας ἀποδημίας ἐνδιδούσης καιρὸν, μήτε πάντας τοὺς ἐν τῇ ἐπαρχίαις κοινωνικοὺς ἐπισκόπους ὑπομνησθῆναι, καὶ τὰς παρ' αὐτῶν συγκαταθέσεις λαβεῖν. ἐπεὶ ταῦτα καὶ πολλὰ πρὸς τούτοις ἕτερα τὴν τῶν πλειόνων ἄφιξιν διεκώλυσεν, ὃ δεύτερον ἦν, εἴς τε τῶν πραγμῶν ἐπανόρθωσιν, καὶ τὴν τῆς ὑμετέρας περὶ ἡμᾶς ἀγάπης ἀπόδειξιν, τοῦτο πεποιήκαμεν, τοὺς αἰδεσιμωτάτους καὶ τιμιωτάτους ἀδελφοὺς καὶ συλλειτουργοὺς ἡμῶν ἐπισκόπους, κυριακὸν, εὐσέβιον, καὶ πρισκιανὸν, προθύμως καμεῖν ἄχρις ὑμῶν δυσωπήσαντες. δι' ὧν καὶ τὴν ἡμετέραν προαίρεσιν εἰρηνικὴν οὖσαν καὶ σκοπὸν ἑνώσεως ἔχουσαν, ἐπιδείκνυμι, καὶ τὸν ζῆλον ἡμῶν, τὸν ὑπὲρ τῆς ὑγιοῦς πίστεως, φανερὸν ποιοῦμεν. ἡμεῖς γὰρ εἴτε διωγμοὺς, εἴτε θλίψεις, εἴτε βασιλικὰς ἀπειλὰς, εἴτε τὰς τῶν ἀρχόντων ὠμότητας, εἴτε τινὰ πειρασμὸν ἕτερον, παρὰ τῶν αἱρετικῶν ὑπεμείναμεν, ὑπὲρ τῆς εὐαγγελικῆς πίστεως τῆς ἐν νικαίᾳ τῆς βιθυνίας παρὰ ὧν τινὶ ἁγίων θεοφόρων πατέρων κυρωθείσης, ὑπέστημι. Ταῦτα γὰρ καὶ ὑμῖν καὶ ἡμῖν καὶ πᾶσι τοῖς μὴ διαστρέφουσι τὸν λόγον τῆς ἀληθοῦς πίστεως συναρέσκειν δεῖ, ἢν μόλις ποτὲ πρεσβυτάτην τε οὖσαν, καὶ ἀκόλουθον τῷ βαπτίσματι, καὶ διδάσκουσαν ἡμᾶς πιστεύειν εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. δηλαδὴ θεότητός τε καὶ δυνάμεως, καὶ οὐσίας μιᾶς τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος πιστευομένης, ὁμοτίμου τε τῆς ἀξίας καὶ συναϊδίου τῆς βασιλείας, ἐν τρισὶ τελείαις ὑποστάσεσιν ἤγουν τρισὶ τελείοις προσώποις· ὡς μήτε τὴν σαβελλίου νόσον χώραν λαβεῖν συγχεομένων τῶν ὑποστάσεων, εἴτουν τῶν ἰδιοτήτων ἀναιρουμένων, μή τε μὴν τὴν τῶν εὐνομιανῶν καὶ ἀρειανῶν καὶ πνευματομάχων τὴν βλασφημίαν ἰσχύειν, τῆς οὐσίας, ἢ τῆς φύσεως, ἢ τῆς θεότητος τεμνομένης, καὶ τῇ ἀκτίστῳ καὶ ὁμοουσίῳ καὶ συναϊδίῳ τριάδι μεταγενεστέρας τινὸς, ἢ κτιστῆς, ἢ ἑτεροουσίου φύσεως ἐπαγομένης. καὶ τὸν τῆς ἐνανθρωπήσεως δὲ τοῦ κυρίου λόγον, ἀδιάστροφον σώζομεν, οὔτε ἄψυχον, οὔτε ἄνουν, ἢ ἀτελῆ τὴν τῆς σαρκὸς οἰκονομίαν παραδεχόμενοι, ὅλον δὲ εἰδότες τέλειον μὲν ὄντα πρὸ αἰώνων θεοῦ λόγον, τέλειον δὲ ἄνθρωπον ἐπ' ἐσχάτων τῶν ἡμερῶν, διὰ τὴν ἡμετέραν σωτηρίαν γενόμενον. Τὰ μὲν οὖν κατὰ τὴν πίστιν τῶν παρ' ἡμῶν ἀνυποστόλως κυρυττομένην, ὡς ἐν κεφαλαίῳ τοιαῦτα. περὶ ὧν καὶ ἐπὶ πλεῖον ψυχαγωγηθῆναι δυνήσεσθε, ὥστε ἐν ἀντιοχείᾳ τόμῳ παρὰ τῆς ἐκεῖ συνεκθούσης συνόδου γεγενημένῳ, καταξιώσαντες ἐντυχεῖν, καὶ τῷ πέρυσιν ἐν κωνσταντινουπόλει παρὰ τῆς οἰκουμενικῆς ἐκτεθέντι συνόδου, ἐν οἷς πλατύτερον τὴν πίστιν ὡμολογήσαμεν, καὶ τῶν ἔναγχος καινοτομηθεισῶν αἱρέσεων, ἀναθεματισμὸν ἔγγραφον πεποιήκαμεν. περὶ δὲ τῶν οἰκονομιῶν, ὧν κατὰ μέρος ἐν τῇ ἐκκλησίαις, παλαιός τε, ὡς ἴστε, θεσμὸς κεκράτηκε, καὶ τῶν ἁγίων ἐν νικαίᾳ πατέρων ὅρος, καθ'

ἑκάστην ἐπαρχίαν τοὺς τῆς ἐπαρχίας, καὶ εἴπερ ἐκεῖνοι βούλοιντο σὺν αὐτοῖς τοὺς ὁμόροις πρὸς τὸ συμφέρον ποιεῖσθαι τὰς χειροτονίας. οἷς ἀκολούθως, τάς τε λοιπὰς ἐκκλησίας παρ' ἡμῖν οἰκονομεῖσθαι γινώσκετε, καὶ τῶν ἐπισημοτάτων ἐκκλησιῶν ἀναδεδέχθαι τοὺς ἱερεῖς. ὅθεν τῆς μὲν ἐν κωνσταντινουπόλει νεοπαγοῦς, ὡς ἂν εἴποι τις, ἐκκλησίας, ἣν ὥσπερ ἐκ στόματος λέοντος τῆς τῶν αἱρετικῶν βλασφημίας, ὑπόγυον ἐξηρπάσαμεν διὰ τῶν οἰκτιρμῶν τοῦ θεοῦ, τὸν αἰδεσιμώτατον καὶ θεοφιλέστατον νεκτάριον ἐπίσκοπον κεχειροτονήκαμεν, ἐπὶ τῆς οἰκουμενικῆς συνόδου, μετὰ κοινῆς ὁμονοίας, ὑπ' ὄψεσι καὶ τοῦ θεοφιλεστάτου βασιλέως θεοδοσίου, πάντός τε τοῦ κλήρου καὶ πάσης ἐπιψηφιζομένης τῆς πόλεως. τῆς δὲ πρεσβυτάτης καὶ ὄντως ἀποστολικῆς ἐκκλησίας τῆς ἐν ἀντιοχείᾳ τῆς συρίας, ἐν ᾗ πρώτῃ τὸ τίμιον τῶν χριστιανῶν ἐχρημάτισεν ὄνομα, τὸν αἰδεσιμώτατον καὶ θεοφιλέστατον ἐπίσκοπον φλαβιανὸν, οἵτε τῆς ἐπαρχίας καὶ τῆς ἀνατολικῆς διοικήσεως συνδραμόντες, κανονικῶς ἐχειροτόνησαν πάσης συμψήφου τῆς ἐκκλησίας, ὥσπερ διὰ μιᾶς φωνῆς τὸν ἄνδρα τιμησάσης, ἣν πρὸς ἐνθέσμον χειροτονίαν ἐδέξατο καὶ τὸ τῆς συνόδου κοινόν. Τῆς δέ γε μητρὸς ἁπασῶν τῶν ἐκκλησιῶν τῆς ἐν ἱεροσολύμοις, τὸν αἰδεσιμώτατον καὶ θεοφιλέστατον κύριλλον ἐπίσκοπον εἶναι γνωρίζομεν, κανονικῶς τε παρὰ τῶν τῆς ἐπαρχίας χειροτονηθέντα πάλαι, καὶ πλεῖστα πρὸς τοὺς ἀρειανοὺς ἐν διαφόροις τόποις ἀθλήσαντα. οἷς ὡς ἐνθέσμως καὶ κανονικῶς παρ' ἡμῖν κεκρατηκόσι, καὶ τὴν ὑμετέραν συγχαίρειν παρακαλοῦμεν εὐλάβειαν, τῆς πνευματικῆς μεσιτευούσης ἀγάπης, καὶ τοῦ κυριακοῦ φόβου, πᾶσαν μὲν καταστέλλοντος ἀνθρωπίνην προσπάθειαν, τὴν δὲ τῶν ἐκκλησιῶν οἰκοδομὴν προτιμοτέραν ποιοῦντος, τῆς πρὸς τὴν καθ' ἕνα συμπαθείας ἢ χάριτος. οὕτω γὰρ τοῦτε τῆς πίστεως συμφωνηθέντος λόγου, καὶ τῆς χριστιανικῆς κυρωθείσης ἐν ἡμῖν ἀγάπης, παυσόμεθα λέγοντες τὸ παρὰ τῶν ἀποστόλων κατεγνωσμένον. ἐγὼ μὲν εἰμὶ παύλου, ἐγὼ δὲ ἀπολλῶ, ἐγὼ δὲ κηφᾶ. πάντες δὲ χριστοῦ φανέντες, ὃς ἐν ἡμῖν οὐ μεμέρισται, θεοῦ καταξιοῦντος, ἄσχιστον τὸ σῶμα τῆς ἐκκλησίας τηρήσομεν, καὶ ᾧ βήματι τοῦ κυρίου μετὰ παρρησίας παραστησόμεθα. ταῦτα κατά τε τῆς ἀρείου καὶ ἀετίου καὶ εὐνομίου μανίας, καὶ μέντοι καὶ σαβελλίου καὶ φωτεινοῦ καὶ μαρκέλλου, παύλου τε τοῦ σαμοσατέως καὶ μακεδονίου γεγράφασιν. ὡσαύτως δὲ καὶ τὴν ἀπολλιναρίου καινοτομίαν προφανῶς ἀπεκήρυξαν εἰρηκότες, καὶ τὸν τῆς ἐνανθρωπήσεως δὲ τοῦ κυρίου λόγον ἀδιάστροφον σώζομεν, οὔτε ἄψυχον, οὔτε ἄνουν ἢ ἀτελῆ τὴν τῆς σαρκὸς οἰκονομίαν παραδεχόμενοι. Καὶ δάμασος δὲ ὁ πανεύφημος, ταύτην μαθὼν ἀναφυεῖσαν τὴν αἵρεσιν, οὐκ ἀπολλινάριον μόνον, ἀλλὰ καὶ τιμόθεον τὸν ἐκείνου γε φοιτητὴν καθελὼν ἀπεκήρυξε. καὶ τοῦτο τοῖς τὴν ἑῴαν ἰθύνουσιν ἐπισκόποις, διὰ γραμμάτων δεδήλωκεν, ἅπερ ἐνθεῖναι τῇ συγγραφῇ νενόμικα χρήσιμον. Ὅτι τῇ ἀποστολικῇ καθέδρᾳ τὴν ὀφειλομένην αἰδῶ ἡ ἀγάπη ὑμῶν ἀπονέμει, ἑαυτοῖς τὸ πλεῖστον παρέχετε, υἱοὶ τιμιώτατοι. καὶ γὰρ εἰ τὰ μάλιστα ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ, ἐν ᾗ ὁ ἅγιος ἀπόστολος καθεζόμενος ἐδίδαξε πῶς προσήκει ἡμᾶς τοὺς οἴακας ἰθύνειν, οὓς ἀνεδεξάμεθα, ὅμως ὁμολογοῦμεν ἑαυτοὺς ἡγάπτονας εἶναι τῆς τιμῆς. ἀλλὰ διὰ τοῦτο οἱῳδήποτε τρόπῳ σπουδάζομεν, εἴ πως δυνηθείημεν πρὸς τὴν δόξαν τῆς μακαριότητος αὐτοῦ παραγενέσθαι. γινώσκετε τοίνυν, ὅτι τὸν πάλαι τιμόθεον τὴν βέβηλον, τὸν μαθητὴν ἀπολ-

λιναρίου

λιναρίου τοῦ αἱρετικοῦ, μετὰ τοῦ ἀσεβοῦς αὐτοῦ δόγματος καθείλομεν, καὶ οὐδαμῶς πιστεύομεν αὐτοῦ τὰ λείψανα λόγῳ τινὶ τῶν λοιποῦ ἰσχύειν. εἰ δ' ἔτι ἐκεῖνος ὁ ὄφις ὁ παλαιὸς, ἅπαξ καὶ δεύτερον καταδηχθεὶς πρὸς ἰδίαν τιμωρίαν ἀναζῇ, ὅς τις ἐκτὸς τῆς ἐκκλησίας ὑπάρχει, ὃς σφῆλαι τοῖς ἑαυτοῦ θανατηφόροις φαρμάκοις τινὰς ἀπίστους διαπειράζων οὐ παύεται, ταύτην ὥσπερ φθοράν τινα ἐκκλίνατε, ὅμως μεμνημένοι τῆς ἀποστολικῆς πίστεως, ταύτης μάλιστα ἥ τις ἐν νικαίᾳ παρὰ τῶν πατέρων ἐγγράφως ἐξετέθη, βεβαίῳ βαθμῷ ἰσχυρῶς τῇ πίστει ἀμετακίνητοι διαμείνατε, καὶ μὴ ματαιολογίας καὶ ἠφανισμένας ζητήσεις, μετὰ τοῦτο ὑπομείνατε ἀκούειν τοὺς κληρικοὺς ἢ τοὺς λαϊκοὺς ὑμῶν. ἤδη γὰρ ἅπαξ τύπον ἐδώκαμεν, ἵνα ὁ γινώσκων ἑαυτὸν χριστιανὸν, ἐκεῖνο φυλάττοι, ὅπερ παρὰ τῶν ἀποστόλων παρεδόθη, λέγοντος τοῦ ἁγίου παύλου, εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ' ὃ παρεδάβετε, ἀνάθεμα ἔστω. ὁ γὰρ χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ὁ κύριος ἡμῶν, τῷ γένει τῶν ἀνθρώπων διὰ τοῦ ἰδίου πάθους πληρεστάτην ἀπέδωκε τὴν σωτηρίαν, ἵνα ὅλον τὸν ἄνθρωπον τῆς ἁμαρτίας ἐνεχόμενον, πάσης ἁμαρτίας ἐλευθερώσῃ. τοῦτον εἴ τις ἤτοι ἀνθρωπότητος, ἢ θεότητος ἔλαττον ἐσχηκέναι εἴποι, πνεύματος διαβόλου πεπληρωμένος, τῆς γεέννης υἱὸν ἑαυτὸν ἀποδείκνυσι. τί τοίνυν πάλιν παρ' ἐμοῦ ζητεῖτε τὴν καθαίρεσιν τιμοθέου; ὃς καὶ ἐνταῦθα κρίσει τῆς ἀποστολικῆς καθέδρας παρόντος καὶ πέτρου τοῦ ἐπισκόπου τῆς ἀλεξανδρέων πόλεως καθῃρέθη ἅμα τῷ διδασκάλῳ αὐτοῦ ἀπολλιναρίῳ, καὶ ἐν ἡμέρᾳ τῆς κρίσεως τὰς ὀφειλομένας τιμωρίας καὶ βασάνους ὑπομένει. εἰ δέ τινας κουφοτέρους πείθει ἐκεῖνος, ὡς τινὰ ἐλπίδα ἔχων, ὅς τις τὴν ἀληθῆ ἐλπίδα τὴν εἰς χριστὸν τῇ ὁμολογίᾳ μετέβαλε, μετὰ τούτου ὁμοίως ἀπολεῖται, ὅς τις δή ποτε βούλεται, ᾧ κανόνι τῆς ἐκκλησίας ἀντιπαλαίσας. ὁ θεὸς ὑμᾶς ὑγιαίνοντας διαφυλάττοι, υἱοὶ τιμιώτατοι. Καὶ ἀλλὰ δέ τινα σύνα θροισθέντες ἐν τῇ μεγάλῃ ῥώμῃ γεγράφασι κατὰ διαφόρων αἱρέσεων, ἅπερ ἀναγκαῖον ᾠήθην ἐνθεῖναι τῇ συγγραφῇ

Ὁμολογία τῆς καθολικῆς πίστεως, ἣν ὁ πάπας δάμασος ἀπέστειλεν πρὸς ἐπίσκοπον παυλῖνον ἐν τῇ μακεδονίᾳ, ὃς ἐγένετο ἐν θεσσαλονίκῃ.

Ἐπειδὴ μετὰ τὴν ἐν νικαίᾳ σύνοδον, αὕτη ἡ πλάνη ἀνέκυψεν, ὥστε τολμᾶν τινὰς τῶν βεβήλῳ στόματι εἰπεῖν, τὸ πνεῦμα τὸ ἅγιον γεγενῆσθαι διὰ τοῦ υἱοῦ, ἀναθεματίζομεν τοὺς μὴ μετὰ πάσης ἐλευθερίας κηρύττοντας σὺν τῷ πατρὶ καὶ τῷ υἱῷ τῆς μιᾶς καὶ τῆς αὐτῆς οὐσίας τε καὶ ἐξουσίας ὑπάρχειν τὸ ἅγιον πνεῦμα. Ὁμοίως δὲ ἀναθεματίζομεν καὶ τοὺς τῇ σαβελλίου ἀκολουθοῦντας πλάνῃ, τὸν αὐτὸν λέγοντας καὶ πατέρα εἶναι καὶ υἱόν. Ἀναθεματίζομεν ἄρειον καὶ εὐνόμιον, οἳ τῇ ἴσῃ δυσσεβείᾳ, εἰ καὶ τοῖς ῥήμασι διαφέρονται, τὴν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα κτίσμα εἶναι διϊσχυρίζονται. Ἀναθεματίζομεν τοὺς μακεδονιανοὺς, οἵτινες ἐκ τῆς ἀρείου ῥίζης καταγόμενοι, οὐχὶ τὴν ἀσέβειαν, ἀλλὰ τὴν προσηγορίαν ἐνήλλαξαν. Ἀναθεματίζομεν φωτεινὸν, ὃς τὴν τοῦ ἐβίωνος αἵρεσιν ἀνακαινίζων, τὴν κύριον ἡμῶν ἰησοῦν χριστὸν, μόνον ἐκ τῆς μαρίας ὡμολόγει. Ἀναθεματίζομεν καὶ τοὺς δύο εἶναι υἱοὺς διϊσχυριζομένους, ἕνα πρὸ τῶν αἰώνων, καὶ ἄλλον μετὰ τὴν τῆς σαρκὸς ἐκ τῆς μαρίας ἀνάληψιν. Ἀναθεματίζομεν κἀκείνους, οἵτινες αὐτὶ λογικῆς ψυχῆς διϊσχυρίζονται, ὅτι ὁ τοῦ θεοῦ λόγος ἐστράφη ἐν τῇ ἀνθρωπίνῃ σαρκί. αὐτὸς γὰρ οὗτος ὁ τοῦ θεοῦ λόγος, οὐχὶ αὐτὶ τῆς λογικῆς καὶ νοερᾶς ψυχῆς ἐν τῷ ἑαυτοῦ σώματι γέγονεν, ἀλλὰ τὴν ἡμετέραν, τοῦτ' ἔστι λογικὴν καὶ νοερὰν, ἄνευ τῆς ἁμαρτίας ψυ-

χὴν ἀνέλαβε καὶ ἔσωσεν. Ἀναθεματίζομεν καὶ τοὺς λέγοντας τὸν λόγον τοῦ θεοῦ, τῇ ἐκτάσει καὶ τῇ συστολῇ ἀπὸ τοῦ πατρὸς κεχωρίσθαι, καὶ ἀνυπόστατον αὐτὸν εἶναι, ἢ μέλειν τελευτᾶν βλασφημοῦντας. Τοὺς δὲ ἀπὸ ἐκκλησιῶν εἰς ἑτέρας ἐκκλησίας μετελθόντας, ἄχρι τοσούτου ἀπὸ τῆς ἡμετέρας κοινωνίας ἀλλοτρίους ἔχομεν, ἄχρις οὗ πρὸς αὐτὰς ἐπανέλθωσι τὰς πόλεις ἐν αἷς πρῶτον ἐχειροτονήθησαν. Ἐὰν δέ τις ἀλλοῦ ἀπὸ τόπου εἰς τόπον μετελθόντος, ἐν τόπῳ τοῦ ζῶντος ἐχειροτονήθη, ἄχρι τοσούτου σχολάσῃ ἀπὸ τοῦ ἱερατικοῦ ἀξιώματος ὁ τὴν ἰδίαν πόλιν καταλείψας, ἄχρις οὗ ὁ διαδεξάμενος αὐτὸν ἀναπαύσηται ἐν κυρίῳ. Εἴ τις μὴ εἴπῃ, τὸν πατέρα ἀεὶ, καὶ ἀεὶ τὸν υἱὸν, καὶ ἀεὶ τὸ πνεῦμα τὸ ἅγιον εἶναι, ἀνάθεμα ἔστω. Εἴ τις μὴ εἴπῃ, τὸν υἱὸν γεννηθέντα ἐκ πατρὸς, τουτέστιν ἐκ τῆς οὐσίας τῆς θείας αὐτοῦ, ἀνάθεμα ἔστω. Εἴ τις μὴ εἴπῃ, ἀληθινὸν θεὸν τὸν υἱὸν τοῦ θεοῦ, ὡς ἀληθινὸν θεὸν τὸν πατέρα αὐτοῦ, καὶ πάντα δύνασθαι καὶ πάντα εἰδέναι, καὶ ᾧ πατρὶ ἴσον, ἀνάθεμα ἔστω. Εἴ τις εἴπῃ, ὅτι ἐν σαρκὶ διάγων ὁ υἱὸς τοῦ θεοῦ, ὅτε ἦν ἐν τῇ γῇ, ἐν τοῖς οὐρανοῖς καὶ σὺν ᾧ πατρὶ οὐκ ἦν, ἀνάθεμα ἔστω. Εἴ τις εἴπῃ, ὅτι ἐν ᾧ πάθει τοῦ σταυροῦ τὴν ὀδύνην ὑπέμεινεν ὁ υἱὸς τοῦ θεοῦ θεότητι, καὶ οὐχὶ σαρκὶ καὶ ψυχῇ λογικῇ, ἣν περ ἀνέλαβεν ἐν τῇ τοῦ δούλου μορφῇ, ὡς εἴρηκεν ἡ ἁγία γραφὴ, ἀνάθεμα ἔστω. Εἴ τις μὴ εἴπῃ, τὴν τῶν θεοῦ λόγον παθόντα σαρκὶ, καὶ ἐσταυρωμένον σαρκὶ, καὶ θανάτου γευσάμενον σαρκὶ, γεγονότα τε πρωτότοκον ἐκ τῶν νεκρῶν καθὸ ζωή ἐστι καὶ ζωοποιὸς ὡς θεὸς, ἀνάθεμα ἔστω. Εἴ τις μὴ εἴπῃ, ὅτι ἐν σαρκὶ ἣν περ ἀνέλαβε, καθέζεται ἐν τῇ δεξιᾷ τοῦ πατρὸς, ἐν ᾗ καὶ ἐλεύσεται κρῖναι ζῶντας καὶ νεκρὰς, ἀνάθεμα ἔστω. Εἴ τις μὴ εἴπῃ, τὸ πνεῦμα τὸ ἅγιον ἐκ τοῦ πατρὸς εἶναι ἀληθῶς καὶ κυρίως, ὡς καὶ τὸν υἱὸν ἐκ τῆς θείας οὐσίας καὶ θεὸν θεοῦ λόγον, ἀνάθεμα ἔστω. Εἴ τις μὴ εἴπῃ, πάντα δύνασθαι τὸ πνεῦμα τὸ ἅγιον, καὶ πάντα εἰδέναι, καὶ πανταχοῦ γῆς παρεῖναι, ὡς καὶ τὸν υἱὸν καὶ τὸν πατέρα, ἀνάθεμα ἔστω. Εἴ τις εἴποι τὸ πνεῦμα τὸ ἅγιον ποίημα, ἢ διὰ τοῦ υἱοῦ γεγενῆσθαι, ἀνάθεμα ἔστω. Εἴ τις μὴ εἴπῃ, πάντα διὰ τῶν υἱοῦ τοῦ σαρκωθέντος καὶ τοῦ ἁγίου πνεύματος τὸν πατέρα πεποιηκέναι, τοῦτ' ἔστι τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, ἀνάθεμα ἔστω. Εἴ τις μὴ εἴπῃ, τοῦ πατρὸς καὶ τῶν υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος μίαν θεότητα, ἐξουσίαν, δυναστείαν μίαν, δόξαν, κυριότητα μίαν, βασιλείαν μίαν, θέλησιν καὶ ἀλήθειαν, ἀνάθεμα ἔστω. Εἴ τις τρία πρόσωπα μὴ εἴπῃ ἀληθινὰ, τῶν πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, εἰς ἀεὶ ζῶντα, τὰ πάντα κατέχοντα, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, πάντα δυνάμενα, πάντα κρίνοντα, πάντα ζωοποιοῦντα, πάντα δημιουργοῦντα, πάντα σώζοντα, ἀνάθεμα ἔστω. Εἴ τις μὴ εἴπῃ, προσκυνῇ τὸν τὸ πνεῦμα τὸ ἅγιον παρὰ πάσης τῆς κτίσεως, ὡς καὶ τὸν υἱὸν καὶ τὸν πατέρα, ἀνάθεμα ἔστω. Εἴ τις περὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καλῶς φρονήσει, περὶ δὲ τοῦ ἁγίου πνεύματος οὐκ ὀρθῶς ἔχει, αἱρετικός ἐστιν, ὅτι πάντες οἱ αἱρετικοὶ περὶ τοῦ υἱοῦ τοῦ θεοῦ καὶ περὶ τοῦ ἁγίου πνεύματος κακῶς φρονοῦντες, ἐν τῇ τῶν ἰουδαίων καὶ τῶν ἐθνικῶν ἀπιστίᾳ τυγχάνειν ἐλέγχονται. Εἴ τις δὲ μερίσει θεότητα, θεὸν τὸν πατέρα λέγων ἀνὰ μέρος, καὶ θεὸν τὸν υἱὸν, καὶ θεὸν τὸ ἅγιον πνεῦμα, καὶ διϊσχυρίσαιτο θεοὺς λέγεσθαι καὶ οὐ θεὸν, διὰ τὴν μίαν θεότητα καὶ δυναστείαν, ἣν περ εἶναι πιστεύομεν καὶ οἴδαμεν, τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, θεὸν ἕνα ἐν τρισὶν ὑποστάσεσιν, ἢ πάλιν ὑπεξελόμενος τὸν υἱὸν καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὡς μόνον ὑπονοῆσαι τὸν πατέρα.

θεὸν

θεὸν λέγεαζ, ἢ μὴ πιςεύεαζ ἕνα θεὸν, ἀνάθεμα ἔςω. Τὸ γὰρ ὄνομα τῶν θεῶν καὶ τοῖς ἀγγέλοις καὶ πᾶσι τοῖς ἁγίοις ἐδόθη θεοῦ ἐνεργείαν. ἐπὶ δὲ τοῦ παντὸς καὶ ἑνὸς τοῦ ἁγίου πνεύματος, διὰ τὴν μίαν καὶ ἴσην θεότητα, οὐχὶ τῶν θεῶν ὀνόμαζα, ἀλλὰ τοῦ θεοῦ ἡμῶν ἐνδείκνυται καὶ σημαίνει, ἵνα πιςεύωμεν ὅτι εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα βαπτιζόμεθα, καὶ οὐχὶ εἰς τὰ τῶν ἀρχαγγέλων ἢ ἀγγέλων ὀνόματα, ὡς οἱ αἱρετικοὶ, ἢ ὡς ἰουδαῖοι, ἢ ἐθνικοὶ δοξαζόντες. Αὕτη τοίνυν ἡ ὧν χριστιανῶν σωτηρία ἐστὶν, ὥστε πιςεύοντες τῇ τριάδι, τοῦτ' ἔστι τῷ πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ πνεύματι, καὶ βαπτιζόμενοι εἰς τὸ αὐτὸ, μίαν θεότητα καὶ δυναστείαν καὶ ἡδότητα, καὶ οὐσίαν, εἰς αὐτὸν πιςεύωμεν.

Ταῦτα μὲν οὖν χαλκηδονος ἐκεῖνος ἐλέγετο.

Ἐπειδὴ δὲ ἐκεῖνος σὺν τε πολέμοις ἀρίςευεν, καὶ ταῖς πόλεσι σωφρόνως τε καὶ δικαίως ἐχρῆτο ἐξ ὑπατείας ἐτελεύτησε, παῖδας μὲν οὐ καταλιπὼν κληρονόμους τῆς βασιλείας, ἀδελφὸν δὲ κομιδῇ νέον ὁμώνυμον τῷ πατρὶ, μάξιμος τις τῆς βαλεντινιανοῦ καταφρονήσας νεότητος, ἥρπασε τὴν τῆς ἑσπέρας ἡγεμονίαν. κατ' ἐκεῖνον γὰρ τὸν χρόνον, ἰουςῖνα ἡ βαλεντινιανοῦ μὲν τοῦ μεγάλου γαμετὴ, τοῦ δὲ νέου μήτηρ, ἀπάλαι τῆς ἀρειανικῆς διδασκαλίας ἐδέξατο σπέρματα, δῆλα πεποίηκε τῷ παιδί. τοῦ μὲν γὰρ ὁμοζύγου τὸ θερμὸν βάπτισμα τῆς πίςεως, λαθεῖν ἀπάντα τὸν χρόνον ἐσπούδασε. τοῦ δὲ παιδὸς τὴν τῶν φρενῶν ἀπαλὴν καὶ δύφκτον θεωμένη, προσενεγκεῖν τὴν ἐξαπάτην ἐθαῤῥησεν. ὁ δὲ τῆς μητρὸς ταῖς ὑποθήκαις ὀνησιφόροις ὑπολαβὼν, εἰς γὰρ ὃ τῆς φύσεως δέλεαρ ἀποβλέπων τὸ θανατηφόρον ἀγκίστρον οὐχ ἑώρα. ιβ΄

Ἀμβροσίῳ προσῆλθε τοῖς περὶ τούτων προσενίσχε λόγοις, ἡγούμενος εἰ τοῦτον μεταπείσοι, πᾶν ἀνὴρ ἐφικτὸν δὴ πρεῖεσθαι. ὁ δὲ ἧς τε τῆς παιδὸς ἀνεμίμνησκεν εὐσεβείας, καὶ τὸν κλῆρον πρεκάλει φυλάττειν, ὃν παρέλαβεν ἄσυλον. ἐδίδασκε γὰρ καὶ τὴν δόξαν τῶν δογμάτων διαφορὰν, καὶ ὅπως τὰ μὲν τῇ τοῦ κυρίου διδασκαλίᾳ καὶ τοῖς τῶν ἀποςόλων συμβαίνει κηρύγμασι, τὰ δὲ ἀνύκτερις ἐνάντια, καὶ τῇ παλαιᾷ νομοθεσίᾳ μαχόμενα. ὁ δὲ νέος, οἷα δὴ νέος, καὶ οὐδὲ μισθὸς ἡ παίδευσις καὶ σπουδή, τὸ μόνον τὰ προσιέμενα τὰ λεγόμενα, ἀλλὰ καὶ θυμοῦ πλήρης ἐλίνετο, καὶ λόχοις ὁπλιτῶν τε καὶ πελταςῶν τοὺς ἐκκλησιαςικοὺς προεβόλοις ἐκίκλησκε. ὅπερ δὲ τὸν μέγιςον ἐκεῖνον ἀειςέα σοφὸν ἐδεδίξατο τῶν ὑπ' αὐτὸν ἡνομένων, μορμολύκεια γὰρ ὑπέλαβε ταῦτα, μειρακυλλίοις ὑπὸ λίνων προσφερόμενα. ὅτε δὴ χαλεπήνας, προσφόρως αὐτὸν ἐκέλευσε τῶν ἱερῶν ἔξω βιῶναι προθύρων. ὁ δὲ ἐκὼν μὲν ἔφη τοῦτο οὐ δράσω, οὐδὲ προδώσω τοῖς λύκοις τὸν τῶν προβάτων σηκὸν, οὐδὲ τοῖς βλασφημοῦσι τὸν θεῖον προδώσω νεών. ἀλλ' εἴ σοι κτεῖναι δοκεῖ, ἔνδον ἐπένευκέ μοι ὁ ξίφος ἢ τῷ αἰχμῷ. ἀπαθὴς γὰρ δέξομαι τὸν τοιοῦτον σφαγέα. ιγ΄

Χρόνου δὲ συχνοῦ τελουμένου, μεμάθηκε μὲν ὁ μάξιμος τὰ κατὰ τὸν μεγαλοφώνου κήρυκος τῆς ἀληθείας παλαίσματα. ἐπέςελλε δὲ ὡς βαλεντινιανῷ τὸν κατὰ τῆς εὐσεβείας πόλεμον καταλῦσαι πρεσβυτὴν, καὶ πρᾶγμα μὴ ποιεῖσθαι τὴν παρόδιαν εὐσέβειαν. προσέθηκε δὲ καὶ τὸν πολέμου τὸν ἀπειλῶν, εἰ μὴ πείθοιτο, καὶ μάλιστα καὶ ὃ ἔργον τοῖς λόγοις ἐπέθηκε. τὴν γὰρ τραπέζαν ἀγείρας ὑπὸ τὸν μεσόλαιον ὥρμησεν, ἔνθα ἐκεῖνος διῆγεν. ὁ δὲ μαθὼν τὴν ἔφοδον εἰς ἰλλυρίους ᾤχετο φεύγων, τῇ πείρᾳ

μαθὼν ἴνων ἐκ τῆς μητρῴας ἀπώναθο συμβουλῆς.

ιε Πυθόμενος δὲ Θεοδόσιος ὁ πρωθύφημος βασιλεὺς, ταῦτα παρὰ τοῦ βασιλέως πραχθέντα καὶ τὰ παρὰ τυράννου γραφέντα, ἔγραψε τῷ πεφυγάδι νέῳ, μὴ χρῆναι θαυμάζειν, εἰ τῷ βασιλεῖ μὲν ὁ θεὸς, τῷ δὲ τυράννῳ ὁ κρίνας σώζεσθαι. τῇ γὰρ εὐσεβείᾳ πεπολέμηκε μὲν ὁ βασιλεύς. ὁ γὰρ τύραννος ἐπεκούρησε. καὶ ὁ μὲν ταύτῃ πρᾳότερος, ἀποδιδράσκει γυμνός. ὁ γὰρ ταύτῃ καθωπλισμένος, ὅτι γε γυμνωθεὶς κρατεῖ. τῇ γὰρ εὐσεβείᾳ, καὶ ὁ ταύτης σώφρων νομοθέτης. ταῦτα μὲν οὖν ἔχειν ἐᾶν ἐπέστειλεν. ὅπως δὲ τῷ φυγεῖ μεμαθηκὼς εἰς ὑπακοὴν ἀφίκοιτο, καὶ τὸ μὲν οἰκείαν καταλήξοι πόλιν βασιλείαν, εἰς δὲ τὸ αὐτὸ πρᾶγμα νόμον εἶδε, πρῶτον μὲν τῇ ψυχῇ τὴν θεραπείαν προσήνεγκε, καὶ τὸ ὑπερμεμῦσθαι τῆς ἀσεβείας ἐξήλασε νόσον, καὶ εἰς τὸ πατρῷον εὐσεβὲς ἐπανήγαγεν. εἶτα θαῤῥεῖν προτρεψάμενος, καὶ κατὰ τοῦ τυράννου στρατεύσας, ἀναιμωτὶ μὲν τῷ νέῳ τὴν βασιλείαν παρέδωκε, τὸν δὲ τύραννον ἔκτεινεν. ἀδικεῖν γὰρ ὑπέλαβεν καὶ τὰς πρὸς γαλήνην γεγυμνασμένας πράγματα σιωπᾶν, εἰ μὴ ποινὴν τοὺς ἀπεκλακότας εἰσπράξαιτο τῆς σφαγῆς.

ις Μετὰ δὲ τὴν ἐκείνην ἐπανόδου, ἀφίκετο μὲν ἀμφιλόχιος ὁ θαυμάσιος, ἅ πολλάκις ἐμνήσθην, ἀνδρολογῶν τοὺς τῶν ἀρχόντων ἐκ τῶν πόλεων ἐξηγησομένους συλλόγους. ὁ δὲ βασιλεὺς ἀπηνέστερον ὑπολαβὼν τὴν αἴτησιν, οὐκ ἐδέξατο. ὁ δὲ σοφώτατος ἀμφιλόχιος παραυτίκα σιγήσας, μηνὸς ἀξίαν ἐξεῦρε μηχανήν. εἰσῆλθε γὰρ αὖθις τῶν βασιλείων γνώμονος, καὶ προσῶπα τῷ βασιλεῖ τὸν υἱὸν Ἀρκάδιον θεασάμενος, νεωστὶ δὲ ὑπὸ κεχλευάζοντο βασιλεύς, ἀνδὸν μὴ πασάσατο σιωπᾶν ἕως τὸν βασιλέα, ἀγάγοιτο δὲ καταλήψεται τὸν υἱόν. ὁ δὲ βασιλεὺς ὑπολαβὼν νομίσας ὃν ἀμφιλόχιον, προσελθεῖν καὶ φιλῆσαι προσέταξε τὸν υἱόν. ὁ δὲ ἀποχρῶσαι ἔφη τὸν αὐτῷ πρὸς αὐτὸ προσενεχθεῖσθαι μικρόν. ὁ δὲ δυσχεράνας, οἰκείαν ἐκάλει προῖσθαι τὴν τοῦ παιδὸς ἀλυσίδα. τὸν δὲ καὶ τὰ λοιπὸν ὁ σοφώτατος ἀμφιλόχιος ἐκκαλύπτει τὸν τοῦ γελωμένου σκοπὸν, καὶ βοᾶν ἔφη. ὁρᾷς ὦ βασιλεῦ, ὅπως οὐ φέρεις τὴν παιδὸς ἀλυσίαν, ἀλλὰ τοῖς εἰς τοῦτον προῖσουσι χαλεπαίνεις πικρῶς. πίστευσον δὴ οὖν, καὶ τὸν τῶν ὅλων θεὸν, τοὺς τὸν υἱὸν αὐτοῦ μονογλυφῆ βλασφημοῦντας βδελύττεσθαι, καὶ ὡς ἀγαθοῖσιν εἶναι δοκοῦν καὶ διερεθίζειν γελωμένοις μισεῖν. οὕτω σώζεις ὁ βασιλεύς, καὶ τὰ τε πεπροσταγμένα τὰ τε εἰρημένα θαυμάσας, νόμον διηνεκῆ ἔγραψε, τοῖς τῶν αἱρετικῶν συλλόγοις κωλύοντα. ἀλλὰ γὰρ οὐ ῥᾴδιον πάσας διαφυγεῖν καὶ κοινὰς τὰ δυσσεβοῦντα πολεμίας ἀγκυρας. πολλάκις γὰρ ὑπὸ διαφορᾶς τὰ ἀσελγείας τὸ πάθος, τῇ δὲ πλεονεξίας πειρᾶται πάγη. εἰ δὲ καὶ ταύτης κρείττων φανείη, ἑτέρωθεν διαφύεται τοῦ φθόνου τὸ βάραθρον. κἂν τοῦτο δὲ πάλιν ὑποπτήσῃ, τὸ θυμοῦ τὸ δίκτυον ὑρπάσῃ προσκείμενον. καὶ δίκας δὲ μυρίας τοῖς δυσσεβέσι τίθησι τοδοσράβας, ἀγρυπνοῦντα εἰς ὅλεθρον. καὶ τὰ μὲν πάθη τὰ θρασυτερωτάτα ἔχει, τὴν τῆς ψυχῆς τεκταινομένας τὰ αὐτῷ μηχανάς. μόνος δὲ ὁ νοῦς ἐγρηγορὼς προσκλύει, τῇ προσιόντα θεία ἐφοπῇ, τῶν μηχανημάτων ἀφαλύοντα τὸν ῥύμβον. τὸ δυσσεβείας δὴ οὖν φύσεως καὶ ὁ θαυμάσιος οὐκ μεταιχὼν βασιλεὺς, καὶ τῶν παθημάτων μετέλαχε, καὶ ὃ δικαίῳ θυμῷ ἀμετρία προσκλυσθεὶς ὠμόν τε καὶ παράνομον εἰργάσατο πάθος. ἐρῶ δὲ καὶ τοῦτο τὸ τῶν ἀλλοξυμένων ὠφελείας ἕνεκα. οὐ γὰρ μόνον καταγελᾶν ἔχει τὸ θαυμασθὸν βασιλέως, ἀλλὰ καὶ δυσφημίαν μνήμης ἀξιωτάτην.

Θεοσα-

Θεσσαλονίκη πόλις ὅστι μεγίστη καὶ πολυάνθρωπος, εἰς μὲν τὸ μακεδόνων ιξζ
ἔθνος τελοῦσα, ἡγουμένη δὲ τῆς τεταρτημορίας καὶ ἀρχαίας, καὶ μέντοι τῶν ἀνὰ
μέσον παμπόλλων ἐθνῶν, ὅσα τῷ ἰλλυριῶν τὸν ὑπέρογκον ἡγούμενον ἔχει. ἐν ταύτῃ στάσεως ἡνομημένης
τινὸς, καὶ ἁγιδιάθετοι ἐκ καθεσύρησε τὰ ἀρχαῖα τινες. ὁ μὲν βασιλεὺς ἀξιαφθεὶς ὑπὸ
ἀγελαίων, οὐκ ἐῶν ἔσχε τὸν θυμὸν τῇ ὁρμῇ. ὡς δὲ ὦν χαλινῷ τὸν λογισμὸν τῇ
τούτου ῥύμῃ ἐκώλυσεν. ἀλλὰ τούτῳ τῷ ψήφῳ ἐξενεγκεῖν τῆς ἡμωρίας ἐπέτρε-
ψε. ταύτῃ δὲ τῇ ἐξουσίᾳ ἐκεῖνος λαβὼν, οἷα δὴ αὐτόνομός τε καὶ τύραννος τὸν
δεσμὸν ἀπορρήξας, καὶ τὸν λογισμὸν διαφυγὼν τὸν ζυγὸν, ἀδίκα ξίφη κατὰ πολιτῶν
ἐγύμνωσε, καὶ τοὺς ἀθῴους μετὰ τῶν ὑπευθύνων καθέκτεινεν. ἑπτὰ γὰρ, ὡς φασιν, μυρι-
άδες ἠθροίσθησαν χιλιάδες, οὐ κρίσεως ἠνυσαμένης, καὶ τῶν μὲν δίκαι ἐκεῖναι τελευτησάντων
καθαριθέντων, ἀλλ' ὡς ἂν ἀμήτρων πολιτῶν ὁμοῦ δίκην ἀσταχύων καθαιρεθέντων. ιθζ

Ταῦτα μαθὼν ὁ θυμικὸς γέμουσαν συμφορᾶν ἀμεθόσιος ἐκεῖνος, οὗ πολ-
λάκις ἐμνήσθην, ἀφικόμενον εἰς μεδιόλανον τὸν βασιλέα, καὶ σιωπῇ εἰς τὸν
θεῖον εἰσελθεῖν βουληθέντα νεὼν, ὑπαντήσας ἔξω τῶν προθύρων, ὑπεδέξατο τῶν
ἱερῶν προπυλαίων τοιάδε λέγων ἐκώλυσεν. οὐκ οἶδα ὡς ἔοικε σὺ βασιλεῦ, ὁ εἰρ-
γασμένης μιαιφονίας τὸ μέγεθος, οὐδὲ μετὰ τῶν θυμὸν παῦλαν ὁ λογισμὸς ἐπέ-
γνω τὸ ἔλεημα. οὐκ ἐᾷ γὰρ ἴσως τῆς βασιλείας ἡ δυνάμις, ὑπογραφὴν τὰ ἁμαρ-
τίαν, ἀλλ' ὑπερφυεῖ ἡ ἐξουσία τῶν λογισμῶν. χρὴ μέντοι εἰδέναι τὸν φύσιν, καὶ
τὸ τούτης θνητόν τε καὶ διαῤῥέον. ἐκ τὸν προγόνων γὰρ οὐ γεγόναμεν, καὶ εἰς ὃν
ἀπορρέομεν, καὶ μήτε μιᾶς τῆς δημιουργίδος ἀποδυσκολύνομεν, ἀγνοεῖν τὸ καλυ-
πτομένου σῶματος τὸ ἀληθέναι. ὁμοφυὴς ἔρχῃ τῷ βασιλεῦ, καὶ μιᾶ δὴ καὶ ὁμο-
δούλων. εἷς γὰρ ἀπάντων δεσπότης καὶ βασιλεύς, ὁ τῶν ὅλων δημιουργός. ποίοις τοί-
νυν ὀφθαλμοῖς ὄψῃ τὸν τοῦ κοινοῦ δεσπότου νεὼν, ποίοις δὲ ποσὶ τὸ δάπεδον ἐκεῖνο
πατήσῃς τὸ ἅγιον. πῶς δὲ τὰς χεῖρας ἐκτενεῖς ἀποσταζούσας ἔτι τοῦ ἀδίκου φόνου
τὸ αἷμα. πῶς δὲ διαιθήσας ὑποδέξῃ χερσὶ, τοῦ δεσπότου τὸ πανάγιον σῶμα.
πῶς δὲ ᾧ στόματι προσοίσεις τὸ αἷμα τὸ τίμιον, τοσοῦτον διχῇ τὸν τοῦ θυμοῦ λόγον
ἐκχέας παρανόμως αἷμα. ἀπιθι τοίνυν, καὶ μὴ πειρῶ τοῖς δευτέροις τὸν προ-
τέρων αὔξειν παρανομίαν, καὶ δέχου τὸν δεσμὸν ᾧ ὁ θεὸς, ὁ τῶν ὅλων δεσπότης λύω-
θεν γὰρ σύμφορος. ἰατρικὸς δὲ οὗτος, καὶ προξενος ὑγιείας. τούτοις εἴξας ὁ βασι-
λεὺς τοῖς λόγοις, τοῖς γὰρ θείοις λογίοις ἐν τετράμηνος, ἤδει σαφῶς ἵνα μὴ τῶν
ἱερέων, ἵνα δὲ τῶν βασιλέων ἴδια, ἔργων καὶ δακρύων ἐπανῆλθεν εἰς τὰ βασίλεια.
χρόνου δὲ συχνοῦ διῃθόντος, ὀκτὼ γὰρ μῆνας ἐπλήσθησαν μῆνες, κατέλαβεν ἡ τοῦ σω-
τῆρος ἡμῶν χριστοῦ γενέθλιος ἑορτή. ὁ δὲ βασιλεὺς, ἐν τοῖς βασιλείοις ὀλοφυρόμενος καθῆ-
στο τὸν τῶν δακρύων ἀνήμισυ λιβάδα. τοῦτο θεασάμενος εὐσέβιος, μάγιστρος ὢν
τιμιώτατος ἐκεῖνος, καὶ πολλῆς μετεῖχε παῤῥησίας, ἅτε δὴ σιωπηδέστερος ὤν, προσελ-
θὼν ἤρετο τῶν δακρύων τὸ αἴτιον. ὁ δὲ πικρῶς ἀνοιμώξας, καὶ σφοδρότερον προ-
χέας τὸ δάκρυον, σὺ μοι, ἔφη, εὐσέβιε παίζεις· τῶν γὰρ ἐμῶν οὐκ ἐπαισθάνῃ κα-
κῶν. ἐγὼ δὲ γένος καὶ ὁλοφυρόμαι τὸ ἐμαυτοῦ συμφορᾶν λογιζόμενος, ὡς τοῖς μὲ
οἰκέταις καὶ τοῖς προσήκουσι, μόνος ὁ θεῖος νεὼς, καὶ εἰσίασιν ἀδεῶς, καὶ τὸν οἰκεῖον
ἀναβοᾶσιν δεσπότην, ἐμοὶ δὲ καὶ ἔξω ἄβατος, καὶ προὸς τοῦτο μοι ὁ θεμένος ἀπο-
κέκλεισται. μέμνημαι γὰρ τῆς δεσποτικῆς φωνῆς ἡ διαῤῥήδην φησὶν, ὃν μὲν δήσητε
ὅπῃ τῆς γῆς, ἔσται δεδεμένος καὶ τοῖς οὐρανοῖς. ὁ δὲ, δραμοῦμαι, ἔφη, εἴ σοι δοκεῖ, καὶ τὸν

ἀρχιερέα πείθω λιπαρήσας, λῦσαί σε τὰ δεσμά. οὐ πείσει, ἔφη ὁ βασιλεύς. οἶδα γὰρ ἐγώ, τὸ ἀμβροσίου ψήφου τὸ δίκαιον, οὐδὲ αἰδεσθεὶς τὴν βασιλείας τιμὴν ἐξουσίαν, τὸν θεῖον παραβήσει νόμον. ὅπερ οἱ πλείονι χρησάμενος ὁ εὐφρῖνος λόγοις πείθειν ὑπέσχετο τὸν ἀμβρόσιον, ἀπελθεῖν αὖθις ὁ βασιλεὺς κατ' ἄκρας ἐκέλευσεν. καὶ αὖθις δὲ διὰ τῆς ἱππίδος βουκολησεὶς, ἠκολούθησε μετὰ βραχύ, τοῖς ἀποστέσι τὸν εὐφρίνου πειθεῖς. αὐτίκα δὲ τὸν εὐφρῖνον ἰδὼν ὁ θεῖος ἀμβρόσιος, τὴν πρώτην κυανῆν ἀνέβλεψαν, ἔφη, εὐφρῖνε ζηλοῖς. τοσαύτης γὰρ μιαφονίας ἡμόμβιος σύμβολος, τῷ αἰδῶ τῶν μετώπων ἀπέξυσας, καὶ ὅτε ἐρυθριᾷς, ὅτε δέδιας, τοσοῦτον κατὰ τῆς θείας λυπήσας εἰκόνος. ὅπερ δὲ ὁ εὐφρῖνος ἰωτιβόλε, καὶ τὸν βασιλέα ἔλεγε ἤξειν, ἀπὸ τοῦ θείου ζήλου πυρποληθεὶς ἀμβρόσιος ὁ θεσπέσιος. ἐγὼ μὲν ὦ εὐφρῖνε προλέγω ὡς καλύβη, τῶν ἱερῶν αὐλῶν προβιῶναι προθύρων. εἰ δὲ εἰς τυραννίδα τῶν βασιλείαν μεθήσει, δέξομαι κἀγὼ μεθ' ἡδονῆς τὸ σφαγεῖον. τούτων ὁ εὐφρῖνος ἀκούσας, ἐμειδίασε δηλά πως ὦ βασιλεῦ, τὸν τοῦ ἀρχιερέως σκοπὸν, καὶ μεθέξειν εἶπε τῶν βασιλείων πρήνεσεν. ὁ δὲ βασιλεὺς, κατὰ μέσην τὴν ἀγορὰν ταῦτα μαθών, ἄπειμι, ἔφη, ταῖς δικαίαις δέξομαι προοιμίαις. ὅπερ δὲ τοῖς ἱεροῖς προβόλοις κατέλαβεν, εἰς μὲν τὸν θεῖον οὐκ εἰσεκύλισε νεών. προσὸν τὸν ἀρχιερέα τοῦ ἡμόμβιου, ἐν δὲ τῷ ἀναστικῷ οἴκῳ τοῦτ' καθῆστο, βιπαρῶς λυθῆναι τῶν δεσμῶν. ὁ δὲ τυραννικὴν ἐκάλεσε πρόοιδ', καὶ κατ' ἐμοῦ μεμηνέναι τὸν θεοδόσιον ἔλεγε, καὶ τοὺς ἐκείνου νόμους πατεῖν. ὁ δὲ βασιλεὺς, ἀναστώμεθ' ἔφη, κατὰ τῶν κειμήλιων νόμων, οὐδὲ παρανόμως ὑπισχνοῦμαι τῶν ἱερῶν προθύρων ἐφίεμαι. σὺ δὲ λῦσαί μοι τῶν δεσμῶν ἄξιον, ἵν' τὸ κοινοῦ δεσπότου φιλανθρωπίαν λογίσασθαι, καὶ μὴ κλῶσαί μοι δύναν, ἵν' πᾶσι τοῖς μεταμελείᾳ κρωμένοις ὁ δεσπότης δύνεται. ὁ δὲ ἀρχιερεὺς ἔφη. ποίαν ἂν μεταμέλειαν ἔδειξας μετὰ τοσαύτην παρανομίαν, ποίοις δὲ φαρμάκοις τὰ δυσιάτα ἐθεράπευσας βασιλεῦ; ὁ δὲ βασιλεὺς, σὸν ἔργον ἔφη, ὃ διεῖξαι καὶ κρῖναι τὰ φάρμακα, ἢ τὰ δυσιάτα θεραπεῦσαι· ἐμὸν δὲ δέξασθαι τὰ προσφερόμενα. τότε ὁ θεῖος ἀμβρόσιος, ὅπερ ὦ θυμῶ, ἔφη, ὃ δικάζειν ἐπιτρέπεις, καὶ οὐχ' ὁ λογισμὸς τῶν γνῶσιν, ἀλλ' ὁ θυμὸς οὐκ φέρει, γράψον νόμον τοῦ θυμοῦ τὰς ψήφους ἐργασίαν ποιοῦντα καὶ προθεσμίας, καὶ τεσσάρακοντα ἡμέρας αἱ φονευτικαὶ καὶ δημευτικαὶ μεμέτωσαν γνώσεις ἐπεγραμμέναι, τοῦ λογισμοῦ προσδεηθῆναι χρείαν. διδόντος δὲ τῶν ἡμερῶν, οἱ τὰ ἐγνωσμένα γεγραφότες, τὰ προστεταγμένα δηλοῦτωσαν. καὶ τινικαῦτα τοῦ θυμοῦ πεπαυμένου, καθ' ἑαυτὸν δικάζων ὁ λογισμὸς, ἐξετάσῃ τὰ ἐγνωσμένα, καὶ ὁποῖ εἴτε ἄδικα, εἴτε δίκαια εἴη, καὶ εἰ μὲν ἄδικα, δῆλον ὅτι διαῤῥήξῃ τὰ γεγραμμένα· εἰ δέ γε δίκαια, βεβαιώσει, καὶ ὁ τῶν ἡμερῶν ἀριθμὸς οὐ συμπληρωθεὶς τοῖς ὀρθῶς ἐγνωσμένοις. τούτῳ ὁ βασιλεὺς δέξάμενος τὰ εἰσηγήσειν, καὶ ἄδεια ἔσχεν ἀπολαβών, δ' θὺς γράφων αἵ τε τὸν νόμον ἐκέλευσε, καὶ τοῖς τῆς οἰκείας χερὸς ἐβεβαίωσε γράμμασι. τούτου δὲ γενομένου, διῆγεν δὴ δεσμὸν ὁ θεῖος ἀμβρόσιος. ὅτως ὁ πιστότατος βασιλεὺς εἴσω γενέσθαι δαῤῥήσας τοῦ θείου νεῶ, οὐχ' ἑστὼς τὸν δεσπότην ἱκέτευεν, οὐ δὲ τὰ γόνατα κλίνας, ἀλλὰ πρωτὸς ὅπερ τοῦ δαπέδου κείμενος τὴν δακρυϊκὴν ἀφῆκε φωνὴν, ἐκολλήθη ὦ ἐδάφει ἡ ψυχή μου, ζῆσόν με κατὰ τὸν λόγον σου, καὶ τοῖς χερσὶν ἀποπλύνων τὰς τείχας, καὶ τὸ μέτωπον τύπτων, καὶ τοῖς τῶν δακρύων σταγόσι τὸ ἔδαφος καταῤῥαίνων, συγ-

γνώμης

γνώμης ἰωπιόλη τυχεῖν. ὅπερ ἡ ὁ κανὼν ἐκάλει, τῇ ἱερᾷ βαπτίζῃ τὰ δῶρα προσενεγκεῖν, ἀνάσας μὴ τῶν ἴσων δακρύων ὧν αὐτὸς ἔπεσε, προσενεγκὼν δὲ, ὡς πρὶν εἰώθει, σὺν δόξῃ τοῖς τὰς κιγκλίδας μεμυήκεσιν. ἀλλὰ πάλιν ὁ μέγας ἀμβρόσιος οὐκ ἐσίγησεν, ἀλλ' ἐξεπαίδευσε τὸν τῶν ὕπτων διαφορέα. καὶ πρόφασιν μὲν εἵρετο εἴ τινος δέοιτο. τὸ δὲ βασιλέως εἰρηκότος, ὡς προσμένοι τὴν τῶν θείων μυστηρίων μετάληψιν, ἐδήλωσεν ὑπουργῶν ὧν τῶν διακόνων ἡγεμόνι χρησάμενος, ὅτι τὰ σύνδουλα τῶν βασιλέων, μόνοις ἔστιν ἱερεῦσι βατά· τοῖς δὲ ἄλλοις ἅπασιν, ἄδυτά ἐστι καὶ ἄφαυστα. ἔξιθι τοίνυν, καὶ τοῖς ἄλλοις κοινώνει τῆς στάσεως. δημιουργὸς γὰρ βασιλέας, οὐχ ἱερέας ποιεῖ. καὶ ταύτην δὲ ὁ πιστότατος βασιλεὺς ἀσμένως δεξάμενος τὴν εἰσήγησιν, ἀπεδήλωσεν, ὡς οὐ θρασύτητι χρώμενος, σύνδουλα τῶν κιγκλίδων μεμυήκει, ἀλλ' ἐν κωνσταντινουπόλει τοῦτο εἰθισμένον ἐκ μαθών. χάριν δὲ ὀφείλω ἔφη τῇ σῇ τῆσδε τῆς ἰατρείας. τοσαύτη δὲ τηνικαύτη καὶ ὁ ἀρχιερεὺς δὲ ὁ βασιλεὺς διέβαλλον ἀρετῇ. ἀμφοτέρων γὰρ ἔγωγε ἄγαμαι, τὸ μὲν τὴν παῤῥησίαν, τοῦ δὲ τὴν ὑπείξιαν· καὶ τὸ μὲν τοῦ ζήλου θερμότητα, τὸ δὲ τὴν τῆς πίστεως καθαρότητα. τοὺς δὲ δὴ τῆς ὑστεραίας ὅρους, οὓς πρὸς τοῦ μεγάλου ἀρχιερέως μεμάθηκε, καὶ εἰς τὴν κωνσταντινούπολιν ἐπανιὼν διετήρησεν. ἑορτῆς γὰρ αὖθις πάλιν ἥκοντος εἰς τὸν θεῖον ἀναγούσης νεὼν, τῇ ἱερᾷ βαπτίζῃ τὰ δῶρα προσενεγκὼν αὖθις ἐξῆλθεν. ὃ δὲ τῆς ἐκκλησίας προέδρου, νεκτάριος δὲ τὴν ἀρχὴν ἦν, διδασκάλου, εἴ δή ποτε μὴ μεμυήκας σύνδουλον, φησὶν, ἔφη, βασιλέως καὶ ἱερέως ἐδιδάσκετο διαφορέα, μόνος δὲ ἀληθῆς διδάσκαλον. ἀμβρόσιον γὰρ οἶδα μόνον ὑπισχνούμενον ἀξίως καλούμενον. τοσοῦτον ὀνίνησιν ἔλεγχος καὶ ἀνδρὸς ἀρετῇ λάμποντος προσφερόμενος. εἶχε δὲ καὶ δεῦρο ἀφορμὴν ὠφελῆσαι ὁ βασιλεύς. εἰ γὰρ τοῦ γάμου τὸν ζυγὸν ἐν αὐτῷ δεξαμένη, τῶν θείων αὐτῷ στενοχώρως διεμέμνησκε νόμων, ἑαυτὴν οὕτως προῆγεν ἀκριβῶς ἐκπαιδεύσασα. ἃ γὰρ ἐπῆρεν αὐτὴν τῆς βασιλείας ἡ δυναστεία, ἀλλὰ τὸ θεῖον πλέον ἐπύρευσε πόθον. τὸ γὰρ διηρτῆσθαι τὸ μέγεθος μεῖζον τὸ πρὸς τὸ δεσπότην εἰργάζετο φίλτρον. αὐλίκα γοῦν καὶ τὸ σῶμα πεπηρωμένων, καὶ ἀπορία τὰ μὴ λελωβημένων, πανδαπὴν ἐποίητο φροντίδα, οὐκ οἰκέτας, οὐδὲ δορυφόρους ὑπουργοῖς κεχρημένη, ἀλλ' αὐτουργὸς γινομένη, καὶ εἰς τὰς τούτων καταγωγὰς ἀφικνουμένη, καὶ ἑκάστῳ τὴν χρείαν προείδουσα. οὕτω καὶ τῶν ἐκκλησιῶν τοὺς ξενῶνας προεσκόπει, τοὺς κλινοπετεῖς δι' ἑαυτῆς ἐκόσμει, αὐτὴ καὶ χύτρας ἀπομένη καὶ ζωμοῦ χαλεπὴν, καὶ πύελον προσφέρουσα, καὶ ἄχρων κλώσα, καὶ φαμιοῦ ὀρέγουσα, καὶ κύλικα ἀποκλύζουσα, καὶ τὰ ἄλλα πάντα ἐργαζομένη, ὅσα οἰκετῶν καὶ θεραπαινίδων ἔργα νενόμισται. ἐν τοῖς δὲ αὐτουργήμασιν ἐπέσχεν πειρωμένοις ἐπελθεῖν, ὡς τὸ μὴ χρεῖον ἀμανέμειν τῇ βασιλείᾳ προσήκει· ἐγὼ δὲ ὑπὲρ αὐτῆς γε τῆς βασιλείας τὴν αὐτουργὸν ταύτην δεδωκότι προσφέρω. καὶ ὃν ὁμολογῶ ἐκ σωφρόνων εἰώθει λέγειν, ἀεί σε, ὦ ἄνερ, προσήκει λογίζεσθαι, τί μὴ ἔσθα πάλαι, ἢ δὲ γέγονας νῦν. ταῦτα γὰρ διὰ παντὸς ἐνθυμούμενος, οὐκ ἔσται σοὶ τὸν αὐτουργὸν ἀχάριστος, ἀλλ' ἐμοὶ ἐδέξω βασιλείαν κυβερνήσας ἐννόμως, καὶ ταύτην θεραπεύσας τὸν δεδωκότα. τοιούτοις ἀεὶ κεχρημένη λόγοις, οἷόν τινα καλλίστην ἀρδείαν καὶ προσφορὰν, τοῖς τῆς ἀρετῆς ἐκ ὕδατος προσφέρεσθαι πόμασι. προσφέρεσθαι μὲν τοῦ ὕδατος ἐτελεύτη-

σε, καὶ σεισθῆναι μὴ χρόνον τινὰ τὴν τελετὴν ταύτην δὲ ἡ γυνὴ, ὁ τοῦ βασιλέως πρὸς αὐτὸν φιλοσοφίαν ἐγύμνωσεν. ὁ γὰρ συχνῶν πολέμων ἀναπαυόμενος ὁ βασιλεὺς, εἰσφορὰν ἵνα ξένιον τοῖς πόλεσιν ἐπιτεθείκει.

ιθ Ἡ δὲ ἀνδρόχου πόλις, ὃ καινὸν τέλος οὐκ ἐώθει. ἀλλ' ὁρῶν ὁ δῆμος ταῖς εἰς τοὺς πολεμίους χρεμαννυμένους, ἆθλα τὰ ἔδρασεν, ἃ ποιᾷ φιλίᾳ ὄχλος τοὺς φασιν εἰς ἀταξίαν καμπτόντων, καὶ τιμὴν χαλκῆν εἰκόνα τοῦ πυθοφήμου πλακίλλης, τοῦτο γὰρ ἐώθει ὄνομα τῇ βασιλίδι, κατεπείγετε καὶ ὅπῃ πολὺ τῆς πόλεως κατέσυρε μέρος. ταῦτα πυθόμενος ὁ βασιλεὺς καὶ χαλεπήνας, ὡς ἐπὶ εἰκόσι ἐώθει, τά τε τῆς πόλεως ἀφείλετο τοὺς νόμια, καὶ τῇ γλυκυδούσῃ πόλει τὴν ἡγεμονίαν προσέδωκε, ταύτῃ μάλιστα νομίζων ἀνιάσειν. ἐζηλοτύπει γὰρ ἡ λαοδίκεια τὴν ἀνδρόχαν ἀνέωθεν. μεθ' ἃ δὲ ταῦτα καὶ ἐμαρτήσειν ἠπείλει καὶ καθεῖλεν, καὶ εἰς κώμην ὃ ἄστυ μετασκευάσειν. οἱ δέ γε ἀστοχοῦντες καὶ αὐθις ἵνας, πρὸς αὐτὸν συλλαβόντες ὃ πλῆμμα, πρὶν γνῶναι τὸν βασιλέα τὴν πραγῳδίαν.

κ Ταῦτα μὲν πρῶτα ὁ βασιλεὺς προσέταττε μὴ, οὐκ ἐθέλετο δέ, τὸν νόμου κωλύοντος ὃν ἀμβρόσιος ὁ μέγας τεθῆναι προσήνεσεν. ὅπερ δὲ ἀφίκοντο οἱ τὰς ἀπειλὰς ἐκείνου κομίζοντες, βεβῆκος τὸ στρατηγὸς τὴν καῦλα ὢν, καὶ καθάριος ὁ τῶν βασιλείων ἡγούμενος, μάγιστρον δὲ οἱ ῥωμαῖοι καλοῦσι τὸν τοῦτον ἔχοντα τὴν ἀρχὴν, ἐν δέῃ μὴ ἦσαν ἀπόμαχοι, τὰς ἀπειλὰς πεφεικότες. οἱ δὲ τὴν ὑπάρξαν οἰκοῦντες τὸ ἀρετῆς ἆθλον, πολλοὶ δὲ ἦσ καῦλα καὶ ἄρισοι, πολλὰς μὲν πραγμένοις καὶ προκλήσεις τοῖς ἀνδράσιν ἐκείνοις προσήνεγκεν. μακεδόνιος δὲ ὁ φόταλος, οὐδὲν μὴν τῶν κατὰ τὸν βίον ὑπισάμενος, μὲν τῶν θείων δὲ λογίων πάμπαν ἄπειρος ὤν, ἐν δὲ ταῖς τῶν ὁρῶν κορυφαῖς διατρίβων, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν, ὡς φθάνει τῶν ὅλων καθαρὰς προσφέρων εὐχάς, οὐ τὸ βασιλέως καταπλαγεὶς τὸ ὁρμὴν, οὔτε μὴν τῶν ἀποσαλέντων τὴν ἐξουσίαν εἰς νοῦν λαβὼν, ἐν μέσῳ τῷ ἄστει, ἧς χαλκίδος θατέρου λαβόμενος, ἀμφοτέρους ἐκ τῶν ἵππων καταβῶναι κελεύει. οἱ δὲ μικρὸν μερίδιον αὐτῷ ἔφκει προβεβλημένον ἰδόντες, ὃ προῆτο μὴν ἐχαλέπηναν. ὅπερ δὲ τινες τῶν ἡγουμένων τὴν τοῦ ἀνδρὸς ἐδήλωσαν ἀρετὴν, κατεπήδησάν τε ἀπὸ τῶν ἵππων, καὶ ὧν ἐκείνου γονάτων ὑπαλαβόμενοι συνεχώρουν ἐζήτουν. ὁ δὲ τῆς φύσεως ἐμφορηθεὶς, τοιοῖσδε τοὺς αὐτοὺς ἐχρήσατο λόγοις. εἶπατε ὦ φίλοι ἄνδρες ὦ βασιλεύ, οὐ βασιλεὺς εἶ μόνον, ἀλλὰ καὶ ἄνθρωπος. μὴ τοίνυν μόνον ὅρα τὴν βασιλείαν, ἀνάμα καὶ τὴν φύσιν λογίζου. ἄνθρωπος γὰρ ὤν, ὁμοφυὴς βασιλεύς. κατ' εἰκόνα δὲ θείαν καὶ ὁμοίωσιν ἡ τῶν ἀνθρώπων δεδημιούργηται φύσις. μὴ τοίνυν ὡμῶς ὅτως καὶ ἀπηνὴς τοῦ θεοῦ τὴν εἰκόνα καταστραγγῶσαι κελεύσῃς. παροξυνεῖς γὰρ τὸν δημιουργὸν τοῦ ἐκείνου κολάζων εἰκόνα. σκόπησον γὰρ ὡς καὶ σὺ χαλκῆς ἕνεκα δυσχεράνων εἰκόνος, ταῦτα ποιεῖς. ὅσον δὲν τοῦ ἀψύχου διαφέρει ἡ ἔμψυχός τε καὶ ζῶσα καὶ λογικὴ, δῆλον ἅπασι τοῖς γε νοῦν ἔχουσι. τοὺς δὲ τούτοις λογισάσθω καὶ ἐκεῖνα, ὡς ἡμῖν μὲν ῥᾴδιον, ἀντὶ τῆς μιᾶς εἰκόνος πολλὰς δημιουργῆσαι χαλκᾶς. αὖτις δὲ πάμπαν ἀδύνατον μιᾷ γενῶν τῶν ἀναιρεθέντων δημιουργῆσαι τέκνα. ταῦτα ἀκούσαντες οἱ θαυμασιώτατοι ἄνδρες ἐκεῖνοι, διεπορθμευσάμην τὰ εἰρημένα τῷ βασιλεῖ, καὶ τὴν θυμοῦ καὶ τέσβεος φλόγα, καὶ ἀντὶ τῶν ἀπειλῶν ἐκείνων, ἀπολωλέναι ἔγραψε, καὶ τὴν ὀργὴν τὴν

αἰτίαν

αἰτίαν ἐδήλωσεν. οὐκ ἔδει γὰρ, ἔφη, ἐμοῦ πλημμελήσαντος, γυναῖκα πάσης ὑφημίας ἀξιωτάτην τοσαύτην μὴ τελεῖν τιμὴν δέξασθαι προῖκα. κατ' ἐμοῦ γὰρ ἐχρῆν τὸν θυμὸν, οὐκ ἀλλαγαθωθέντας ὁπλίσαι. τοιοῦτος δὲ ὢν ἀνὴρ καὶ τοσαύτης ἀρχόντων ἀνηρῆσθαι μαθὼν. ἐγὼ δὲ τοῦτο διεξῆλθον, οὐ τοῦ πανθαφήμου μονάζοντος τὴν παῤῥησίαν οὐχ ἡγησαμένου δίκαιον εἶναι δοῦναι λήθην, καὶ τὸν νόμον σκῆνος ὄντα σοφίας ὑπερφορεῖν, ὃν ὁ μέγας ἀμβρόσιος γράφοντα παῤῥήνεσεν. ὁ δὲ πιστότατος βασιλεὺς καὶ ἡ βίωνικὴς πανήμης μετέθηκε τὴν ποινὴν, οὐ νόμους ἔγραψε τὰ τῶν εἰδώλων τεμένη καθαιρεῖσθαι κελεύων. κωνσταντῖνος μὲν γὰρ ὁ μέγας, ὁ πάσης ἀξιώτατος ὑφημίας, τοῦτος εὐσεβείᾳ τὸ βασιλείαν κοσμήσας, καὶ τὴν οἰκουμένην ἔτι μεμηνῦσαν ὁρῶν, τοῖς δαίμοσι θύειν, πανταχοῦ πασιν ἀπηγόρευε. τοῖς δὲ τούτων ναοῖς οὐ κατέλυσεν, ἀλλ' ἀδύτοις εἴασε προστάξας. καὶ μέντοι οἱ τούτου παῖδες τοῖς πατρῴοις ἠκολούθησαν ἴχνεσιν. ἰουλιανὸς δὲ ἀνανεώσασθαι τὴν ἀσέβειαν, καὶ τὰ παλαιὰς ἐξαπάτης ἐξήψατο τοῦ φλέγματος. ἰωβιανὸς γὰρ τὴν βασιλείαν παραλαβὼν, πάλιν τὴν τῶν εἰδώλων ἐκώλυσε θεραπείαν. οὐ βαλεντινιανὸς δὲ ὁ μέγας, τοιοῦσδε κεχρημένος νόμοις ἴσχυε τὴν ἀνθρώπην. ὁ δὲ βάλης πᾶσι μὲν τοῖς ἄλλοις ἐπέτρεψε θρησκεύειν ἢ βούλοιντο καὶ τὰ θρησκεύόμενα θεραπεύειν, μόνοις γὰρ πολεμῶν διετέλει τοῖς τὴν ἀποστολικὴν ὀρθοδοξίαν μαχομένοις δόγμασιν. πάντα γοῦν τὰ ἐκείνου βασιλέως χρόνου, καὶ ὁ ὀπιθώμιον ἦπλετο πῦρ, οὐ ναοὶ δὲ καὶ θυσίας τοῖς εἰδώλοις προσέφερον καὶ ταῖς δημοσιονίαις ἐν τοῖς ἀγροῖς ἐπετέλουν, καὶ οἱ τὰ Διονύσου καὶ ὄργια τετελεσμένοι, μετὰ τῶν αἰδοίων ἔτρεχον, τοὺς κώνας ἀφανοῦντες, καὶ μεμηνότες οὐ βακχεύοντες, καὶ τὰ δῆλα σφαλλόμενοι, ἃ τοῦ τῶν διδασκάλου πανήγυριν δηλοῖ. ταῦτα πάντα θεοδόσιος ὁ πιστότατος βασιλεὺς, προῤῥιζά τε ἀνέστασε καὶ λήθην παρέδωκε.

Πρῶτος μὲν τῶν ἀνάκτων ἀρχιερέων, μύρκελλος ὁ πάντα ἄριστος ὅπλῳ τῷ καλῷ νόμῳ χρησάμενος ἐγκεχαιρισμένης πόλεως τὰ τεμένη κατέλυσε, τῇ τοῦ θεοῦ παῤῥησίᾳ μᾶλλον ἢ τῇ πολυχρείᾳ χρησάμενος. ἐγὼ δὲ καὶ ὅτο διηγήσομαι μνήμης οὐκ ἀξιώτατον. ἐτετελεύτηκει μὲν ἰωάννης ὁ τῆς ἀπαμέων ἐπίσκοπος οὗ καὶ πρόσθεν ἐμνήσθην. ἐκεχαρισμένῃ δὲ αὐτ' ἐκείνου, μύρκελλος ὁ θεῖος ζέων τῷ πνεύματι τῷ τοῦ ἀποστόλου νομοθετοῦντι. ἀφίκετο δὲ εἰς τὴν ἀπάμειαν τῆς ἑῴας ὕπαρχος, δύο χιλιάρχοις σὺν τοῖς ὑπηκόοις λαοῖς. καὶ ὃ μὲν πλῆθος ἀφ' ὧν τῶν τραλλιωτῶν ἠσύχασε δέος. ὃ δὲ τοῦ ἄστεος τέμενος μέγιστόν τε ὂν, καὶ πολλῷ κόσμῳ πεποικιλμένον, καθελεῖν μὲν ἐπειράθη. στῆναι γὰρ ἅμα καὶ στρέμνιον τῆς οἰκοδομῆς ἰδὼν, ἀδυνάτως ἔχειν ἀνθρώποις ὑπέλαβε διαλῦσαι τοὺς λίθους τοῦ ἁρμονίου. μέγιστοί τε γὰρ ἦσαν καὶ σιδήροις ἄγαν συνηρμοσμένοι, καὶ μέντοι καὶ σιδήρῳ καὶ μολίβδῳ πεποιημένοι. ταῦτα δ' ὑπάρχου τοῦ θείου μύρκελλος ἰδὼν, ἐκεῖνον μὲν εἰς τὰς ἀγορὰς πεμπούσης πόλεως, αὐτὸς δὲ τὸν θεὸν ἰκετεύσας πόρον δοῦναι τῇ λύσει. ἦκεν οἶμαι τις αὐτόματος ἔνθεν, ὅτε οἰκοδόμος, ὅτε λιθοτόμος, ὅτ' ἀγαθὸν μὲν τεκτονικὸν, ἀγαθὰ λίθοις φέρων ὅπου τῶν ὤμων καὶ ξύλα εἰδόμενος. ὃς παρελθὼν, ὑπέσχετο ῥᾳδίως τοὺς νεὼ καταλύσειν. δυοῖν γὰρ τεχνῶν ἀπῄτει μισθόν. ὃν δὲ τοῦτον ὑπέσχετο δώσειν ὁ θεῖος ἀρχιερεὺς, τοιόνδε τι ὁ ἀνὴρ ἐκεῖνος ἐμηχανήσατο. σοφὸς γὰρ ὢν τεθαρρηκὼς πλευρῶν ὁ νεὼς εἶχεν, ἐφ' ὑψηλοῦ κείμενος αὐτῷ

σϋνηρμοσμένων. οἱ δὲ κίονες μέγιστοί τε ἦσαν καὶ ἰσόμετροι τῷ νεῷ. ἑκάστου δὲ ὁ κύκλος, ἑκκαίδεκα πήχεων ἦν. λίθου φύσις, τερέσπατις ἦν, καὶ οὐ ῥᾳδίως τοῖς τῶν λιθοτόμων ὀργάνοις ὑπείκουσα. τούτων ἕκαστον ἐν κύκλῳ διορύττων ἐκεῖνος καὶ ξύλοις βαείνοις ὑποῤῥείδων τὰ ὑποκείμενα, ἐφ' ἕτερον αὖθις μετέβαινεν. οὕτω δὲ ῥᾳδίως τῶν κιόνων ὀρύξας, τῷ φλόγα τοῖς ξύλοις προσήνεγκεν. ἀλλ' οὐκ εἰς αὐτὴν φύσιν ὑποτὸ πυρὸς τὰ ξύλα δαπανᾶσθαι, δαίμων τις φαινόμενος μέλας καὶ καπνῶν τὴν φλογὸς τῷ ἐνέργειαν. ὅπερ δὲ πολλάκις τοῦτο δράσαντες ἀνόητον ἑαυτῶν τῷ μηχανικῷ, ἐμιμοῦντο τοῦτο τῷ ποιμένι μὴ μεσημβρίαν καθεύδοντι. ὁ δὲ πρωΐαν εἰς τὸν θεῖον δρομῶν νεὼν, καὶ εἰς ἄγγος ὕδωρ κομισθῆναι προστάξας, ἔθηκε μὴν τὸ ὕδωρ ὑποτὸ τὸ θεῖον θυσιαστήριον. αὐτὸς δὲ εἰς τὸ ἔδαφος τὸ μέτωπον θεὶς, τὴν φιλάνθρωπον ἱκετηρίαν δεομένου, μὴ ὅπως πλῆξον ὅπως δοῦναι τῇ τυραννίδι τὸν δαίμονος, ἀλλὰ καὶ τὴν ἀσθένειαν τὴν ἑαυτοῦ γυμνώσας καὶ τὴν οἰκείαν δύναμιν ὅπως δείξῃ, ἵνα μὴ πρόφασις εἰλῶσιν τοῖς ἀπίστοις μείζονος γνώμης βλάβης. ταῦτα εἰπὼν καὶ ὅσα τούτοις παρόμοια, τὸ ὅπως τὸν τύπον τοῦ ὕδατος, ἐκλιπόν ἵνα δικαιοσύνης ἄξιον μισθὸν, πίστεως καὶ ζήλου πεφανερωμένου, λαβὸν τὸ ὕδωρ ἐκέλευσε, καὶ δρᾶ πάντοις δραμεῖν τὸ μὴ πίστεως διαῤῥῆναι καὶ τὴν φλόγα προσενεγκεῖν. ὅτου τούτου γνωσθέντος, ἀπέδρα μὴν ὁ δαίμων οὐκ ἐνεγκὼν τὴν τοῦ ὕδατος προσβολήν. τὸ δὲ πῦρ ὡς ἅπαν τὸ ἀνθρακῶδες κρησάμενον ὕδατι, ἐπελάβετο τῶν ξύλων καὶ ταῦτα ἐν ἀκαρεῖ κατεφλόγωσε. οἱ δὲ κίονες φεύδου τῆς ἐρειδούσης γνώμης αὐτοί τε κατέπεσον, καὶ δῶμος εἴκοσιν δυοκαίδεκα. καὶ τὸ νεὼ δὲ τὸ τοῖς κίοσι συνημμένον κατεφλέχθη πλευρὰν, ὑποτὸ τοῦ ἐκείνων βίας συνεκρύσθεν. ὁ δὲ κλύπος εἰς ἅπαν τὸ ἄστυ διαδραμὼν, πολὺς μὲν ἦν, πόλεως εἰς θέαν συνήγειρεν. ὅπερ δὲ καὶ τοῦ ἀνθρακῶδους δαίμονος ἔμαθον τὴν φυγὴν, εἰς ὑμνῳδίαν τῆς θεοῦ τῶν ὅλων τὴν γλῶτταν ἐκίνησε. οὕτω καὶ τἆλλα τελεῖν κατέλυσεν ὁ θεῖος ἐκεῖνος ἀγχιεράς. πολλὰ δὲ καὶ ἄλλα περὶ τοῦδε τοῦ ἀνδρὸς ἐν λίθῳ ἀξιάγαστα διηγήματα ἔχων, καὶ γὰρ τοῖς νικηφόροις ἐπέστελλε μύρτυσι καὶ ἀνθεμίζεσθαι ἐτύγχανε, καὶ τέλος καὶ αὐτὸς τῶν μύρτυρων ἀνεδέξατο στέφανον, ἀναδύομαι ταῦτα νεῦσαι ἰσορρεῖν, ἵνα μὴ λίθῳ μηκύνων ἀποκνήσω τοὺς ἐνθυμουμένους τῇ συλλαφῇ. ἐφ' ἑτέραν τοίνυν διήγησιν τρέπομαι.

κζ Ἀθανάσιον ἐπίσκοπον τῆς πολυθρυλήτου Ἀλεξανδρείας διεδέξατο πέτρος, τὸν δὲ πέτρον διάδοχος, διάδοχον ὁ θεόφιλος, ἀνὴρ πυκνός τε καὶ φρένας, καὶ ἀνδρῶδες τὸ φρόνημα. ὅστις τὴν ἀγεξανδρου πόλιν τῆς εἰδωλικῆς ἠλευθέρωσε πλάνης. οὐ γὰρ μόνον ἐκ βάθρων ἀνέσπασε τὰ τῶν εἰδώλων τεμένη, ἀλλὰ καὶ τὰ τῶν ἐξαπατώντων ἱερέων τοῖς ἐξηπατημένοις ὑπέδειξε μηχανήματα. τά τε γὰρ ἐκ χαλκοῦ καὶ τὰ ἐκ ξύλων κενὰ εἴδωλα, καταισχύνοντες ξόανα, καὶ τοῖς τείχοις τὰ τούτων προσαρμόζοντες νῶτα, πόρους τινὰς ἀφανεῖς ἐν τοῖς τείχοις ἐφίεσαν. εἶτα διὰ τῶν ἀδύτων ἀνιόντες, καὶ εἴσω τῶν ξοάνων γινόμενοι, ἀφ' ἑαυτῶν ἐδόκουν διὰ τούτων ἐκέλευον. φενακιζόμενοι δὲ οἱ ἐπαίοντες, ἔδρων τὸ κελευόμενον. ταῦτα ὁ θεόφιλος καταλύων ἀρχιερεὺς τοῖς ἐξαπατηθεῖσιν ὑπέδειξε δήμοις. εἰς δὲ τὸν τοῦ σαράπιδος νεὼν ἀναβὰς, τῶν δὲ πολυαχοῦντος καθαιρεῖν φασί τινες μέγιστός τε ὢν καὶ κάλλιστος, εἶδε τὸ ξόανον παμμέγεθες καὶ τῷ μεγέθει τοὺς ἄλλους ἀποδιπλάσιον. ὡς δὲ τῷ μεγέθει καὶ

λόγος

λόγος κατεῖχεν ἀπατηλὸς, ὡς εἴ τις τούτῳ πελάσει κλονηθήσεται μὲν ἡ γῆ, πανωλεθρία δὲ ἅπαντας καταλήψεται. ἀλλὰ τούτοις μὲν τοὺς λόγους γραϊδίων μεθυόντων νομίσας εἶναι ληρήματα, τοῦ δὲ μεγέθους ὡς ἀψύχου καταφρονήσας, ἐκέλευσε τινὶ πέλεκυν ἔχοντι παῖσαι προθύμως τὸν σάραπιν. ἐκείνου δὲ παίσαντος ἐβόησε μὲν ἅπαντες τὸ θρυλούμενον δείσαντες. ὁ δὲ σάραπις δεξάμενος τὴν πληγὴν, οὔτε ἤλγησε, ξύλινος γὰρ ἦν, οὔτε φωνὴν ἀφῆκεν, ἄψυχος ὤν. ἐπεὶ δὲ τὴν κεφαλὴν ἀφῃρέθη, μῦες ἀγλαηδὸν ἐξέδραμον ἔνδοθεν. μυῶν γὰρ οἰκητήριον ἦν ὁ αἰγυπτίων θεός. εἰς μικρὰ δὲ αὐτὸν διελόντες, τὰ μὲν παρέδοσε τῷ πυρὶ, τὴν δὲ κεφαλὴν διὰ παντὸς τοῦ ἄστεος ἔσυρον, τῶν προσκυνούντων ὁρώντων, καὶ τοῦ παρ' αὐτῶν προσκυνηθέντος τὴν ἀσθένειαν κωμῳδούντων. οὕτω δὴ τὰ πανταχοῦ γῆς καὶ θαλάττης τῶν δαιμόνων κατελύθη τεμένη.

Εν ἀντιοχείᾳ δὲ μελετίου τοῦ μεγάλου τὴν προεδρίαν φλαβιανὸς διεδέξατο, κγ ζ
